AESCHYLI TRAGOEDIAE

QUAE SUPERSUNT
AC
DEPERDITARUM
FRAGMENTA.

RECENSUIT
ET
COMMENTARIO
ILLUSTRAVIT
CHR. GODOFR. SCHÜTZ.

VOL. II.

PERSAE. AGAMEMNON.

EDITIO NOVA AUCTIOR ET EMENDATIOR.

HALAE,
APUD JO. JAC. GEBAUER.
MDCCCXI.

ΑΙΣΧΥΛΟΥ
ΤΡΑΓΩΔΙΑ
ΠΕΡΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΟΡΟΣ.
ΑΤΟΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΔΑΡΕΙΟΥ ΕΙΔΩΛΟΝ.
ΞΕΡΞΗΣ.

ΑΙΣΧΥΛΟΥ

ΠΕΡΣΑΙ.

ΧΟΡΟΣ.

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,
Καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
Ἑδράνων φύλακες, κατὰ πρεσβείαν
Οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
Εἵλετο χώρας ἐφορεύειν.
Ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
Καὶ πολυχρύσου στρατιᾶς ἤδη

VARIETAS LECTIONIS.

v. 3. ἀφνεῶν] ἀφνειῶν Guelf. καὶ πολυχρύσων] τῶν πολυχρύσων Rob.

v. 6. Δαρειογενὴς] Δαρείου υἱὸς additur Ox. Moſqu. Viteb. Ald. Turn. υἱὸς Δαρείου Guelf. Utrumque additamentum e ſcholiis inductum.

Κακόμαντις ἄγαν ὀρσολοπεῖται
    Θυμὸς ἔσωθεν.
Πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
Οἴχωκεν· νέον δ' ἄνδρα βαΰζει.
Κοὔτε τις ἄγγελος, οὔτε τις ἱππεὺς
Ἄστυ τὸ Περσῶν ἀφικνεῖται·

Οἴτε

VARIETAS LECTIONIS.

v. 10. ὀρσολοπεῖται] ὀρσοπολεῖται Guelf. Mosqu. Viteb. Regg. Ald. Rob. Turn. Sed recte jam Stephanus praeferendum censuit ὀρσολοπεῖται, quod Hesychii quoque auctoritate confirmatur.

v. 11. ἔσωθεν omissum Viteb.

v. 12. Ἀσιατογενὴς] Ἀσιατιγενὴς Turn. probante Pauwio.

v. 13. οἴχωκεν] ᾤχωκε Vit. Ald. Turn. οἴχωκε Vict. Rob. νέον] ἔον legit Schol. in quibusdam Codd. βαΰζει Pauwius vel βαΰζω legendum, vel ad θυμὸς referendum putat, cum alii, ut Heathius, ex Ἀσιατογενὴς, Ἀσία quasi ἀπὸ τοῦ κοινοῦ repeti velint. Cel. Valckenarius ad Phoeniss. Eurip. 1489. metrorum potissimum anapaesticorum rationibus adductus conjecit post βαΰζει quaedam deesse; cui repugnant Heathius et Brunckius; quia in his non ita terminetur sententia, ut basi et paroemiaco claudi omnino debuerit; connecti enim eam cum sequentibus copula καὶ, quae novum sensum non inchoet. Heathius itaque hunc sensum verbis tribuit: *Asia juventutem suam tantum non omnem a Xerxe in Graeciam abductam poscit et inclamat.* Brunckii vero secundum opinionem Asia sic dicitur νέον ἄνδρα, i. e. τὴν νεότητα πᾶσαν τῶν Περσῶν, *clamare*, ut infra v. 918: αἰάζει τὰν ἐγγαίαν ἥβαν Περσῶν. *Perierat*, inquit, *juventus fere omnis.* Verum si hoc *perierat* vir doctissimus de hoc loco, quem tractamus, intelligi voluit, non animadvertit hic et v. 1. vocabulum οἴχεσθαι non esse *per-*

Οἵτε τὸ Σούσων, ἠδ' Ἀγβατάνων
Καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος
Προλιπόντες ἔβαν, οἱ μὲν ἐφ' ἵππων,
Οἱ δ' ἐπὶ ναῶν, πεζοί τε βάδην
  Πολέμου στῖφος παρέχοντες·
Οἷος Ἀμίστρης, ἠδ' Ἀρταφρένης
Καὶ Μεγαβάζης, ἠδ' Ἀστάσπης,
    Ταγοὶ Περσῶν,
Βασιλῆς βασιλέως ὕποχοι μεγάλου
Σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι

VARIETAS LECTIONIS.

ire, ſed tantum *abire*, *discedere*. Periiſſe enim juventutem hoc loco ante nuncii adventum ſenes Chorici nondum ſciebant. Nobis vero durior h. l. videtur eſſe vocabuli Ἀσία ex antecedente repetitio; nec levibus ducimur argumentis ad ſuſpicandum, inter οἴχωκεν et νέον δ' ἄνδρα βαΰζει aliquot verſiculos intercidiſſe. Qua de re cf. Commentar. ad h. l.

v. 16. ἠδ'] ἦδ' Moſqu. Σούσων] ἄστυ Σ. Rob. Ἀγβατάνων] ἐκβατάνων Moſqu. Vit. Guelf. Ald. Rob. Turn. etc. Scite autem Brunckius obſervavit urbem, quae poſtea Ἐκβάτανα vocata ſit, Aeſchyli aevo Ἀγβάτανα nominatam fuiſſe. Cf. v. 956. in quo etiam ad Weſſelingii auctoritatem provocat, qui ubique in Herodoto e melioribus codd. iſtam ſcripturam reſtituit.

v. 19. ναῶν] νηῶν τε Moſqu. νηῶν Viteb.

v. 21. οἷος] Pauw. inepte corrigit οἷσιν. Ἀμίστρης] ἀμνήστρης Ald. ἀμήστρης Rob. Ἀρταφρένης] ἀρταφέρνης Guelf. ἀρτιαφρένης ſic Moſqu.

v. 22. Μεγαβάζης] μεγαβάτης Viteb. μεταβάτης Moſqu. Ald. Ἀστάσπης] ἀστάπης Ox. Moſqu. Viteb. Ald. Rob.

v. 24. βασιλῆς] βασιλεῖς Moſqu. Viteb. Ald. Rob.

Τοξοδάμαντές τ' ἠδ' ἱπποβάται
Φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
Ψυχῆς εὐτλήμονι δόξῃ.
Ἀρτεμβάρης θ' ἱππιοχάρμης,
Καὶ Μασίστρης, ὅ τε τοξοδάμας
Ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ',
Ἵππων τ' ἐλατὴρ Σωσθάνης.
Ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτιογενής,
Ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
Μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
Καὶ ἑλειοβάται ναῶν ἐρέται

Δεινοί,

VARIETAS LECTIONIS.

v. 26. τοξοδάμαντές τ'] abest τ' Viteb. Guelf. τοξοδάμαντον Mosqu. ἠδ'] δ' Mosqu.

v. 28. εὐτλήμονι] Sic Brunck. e codd. Regg. ἐντλήμονι Ald. Turn. etc. ἀτλήμονι Rob.

v. 32. Σωσθάνης] σουσθάνης Viteb. σωσθένης Guelf. σοσθάνης Mosq.

v. 34. ἔπεμψεν] ἔπεμψε Ald.

v. 35. Πηγασταγὼν] πηγάς τ' ἄγων Rob. Stanl. existimat forte legendum esse πηγὰς ταγών, cujus quidem lectionis etiam Schol. meminit; neuter tamen, quem ea distractio sensum praebere possit, dixit. Αἰγυπτιογενὴς] Αἰγυπτογενὴς Mosqu. Turn. Acute autem observat Brunckius vocabulum αἰγυπτιογενὴς hic πεντασύλλαβον esse, synaloëphe in ιο facta, ut Eurip. Phoeniss. 684. ξυνηλίοισι sic pronuntiandum, ut λίοισι sit pes trochaeus.

v. 37. μέγας] μέγας τ' Mosq. ὠγυγίους] ὠγυγίας Ald. Turn. ὠγυγίου Rob.

Δεινοί, πλῆθός τ' ἀνάριθμοι
Ἀβροδιαίτων δ' ἕπεται Λυδῶν
Ὄχλος, οἵ τ' ἐπίπαν ἠπειρογενὲς
Κατέχουσιν ἔθνος, τοὺς Μιτραγαθὴς
Ἀρκεύς τ' ἀγαθός, βασιλῆς δίοποι
Καὶ πολύχρυσοι Σάρδεις, ἐπόχους
Ἅρμασι πολλοῖς ἐξορμῶσιν,
Δίρρυμά τε καὶ τρίρρυμα τέλη,
Φοβερὰν ὄψιν προσιδέσθαι.
Στεῦνται δ' ἱεροῦ Τμώλου πελάται

VARIETAS LECTIONIS.

v. 40. ἀνάριθμοι] ἀνάριθμον Turn.

v. 41. ἕπεται] ἕσπεται Ald. Rob.

v. 42. οἵ τ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος] Hanc locutionem insolentiae accusat Pauwius, ac substituendum censet: οἵ τ' ἐπίπαν ἠπειρότενες κατέχουσιν ἕδος, *sedes, quae per continentem extenduntur*, hujus commenti elegantiam scilicet suo more praedicans.

v. 43. τοὺς] Stanlejus sine causa corrigit τοῖς. Μιτραγαθὴς e Reg. A. pro vulg. Μητραγαθὴς dedit Brunckius.

v. 44. βασιλῆς δίοποι] βασιλεῖς διόπτοι, quod schol. interlineari explicatur ἐπόπται, Viteb. βασιλεῖς διόπτοι Mosqu. βασιλῆες διόπτοι, quod glossa interlin. interpr. περίβλεπτοι, Guelf. βασιλεῖς δίοπτοι Ald. Rob. βασιλεῖς δίαποι Turn. Pauwius pro Ἀρκεύς τ' ἀγαθὸς β. δ. scribendum esse hariolatur Ἀρκεύς τ' ἀγαθοὶ β. δ.

v. 46. ἅρμασι πολλοῖς] πολλοῖς ἅρμασιν Guelf. Viteb. Mosqu. Ald. Rob. Turn. Vict. etc. Nos Brunckii transpositionem adoptavimus, qua fit elegantior et concinnior structura verborum.

v. 48. προσιδέσθαι] προςειδέσθαι Ald.

v. 49. στεῦνται] στεῦται Mosqu. Τμώλου] Τμῶλον Ald.

Ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι·
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες,
Καὶ ἀκοντισταὶ Μυσοί. Βαβυλὼν δ'
Ἡ πολύχρυσος πάμμικτον ὄχλον
Πέμπει σύρδην, ναῶν τ' ἐπόχους
Καὶ τοξουλκῷ λήματι πιστούς.
Τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται
Δειναῖς βασιλέως ὑπὸ πομπαῖς.
Τοιόνδ' ἄνθος Περσίδος αἴης
Οἴχεται ἀνδρῶν.
Οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις
Θρέψασα, πόθῳ στένεται μαλερῷ·
Τοκέες τ' ἄλοχοί θ' ἡμερόλεγδον
Τείνοντα χρόνον τρομέονται.
στροφὴ Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη

Βασί-

VARIETAS LECTIONIS.

v. 49. 50. inverſo ordine leguntur in Rob.

v. 50. δούλιον] δούλειον Guelf. Viteb. Moſqu. Ald. Rob. Vict. At δούλιον metri cauſa legendum eſſe vidit Stanl.

v. 51. Μάρδων Θάρυβις] μάρδων τ' Ἄρυβις Turn.

v. 55. καὶ] abeſt Guelf. λήματι] λήμματι Moſqu. Viteb. Sed λήματι Guelf. et Edd.

v. 58. δειναῖς] προτροπαῖς δειναῖς, augmento e ſcholiis adſumto; Ox. Ald. ὑπὸ πομπαῖς] conjunctim ſcribitur ὑποπομπαῖς Codd. Regg. Rob. Turn. Cant.

v. 59. αἴης οἴχεται] χαίας ὄχεται Viteb. αἴας οἴχεται Ald. Rob. αἴης formam ionicam eruit Brunck. e Regg.

v. 61. οὓς πέρι] οὐδὲ περὶ Moſqu.

v. 63. ἡμερόλεγδον] ἡμερόλεκτον Guelf.

v. 64. τρομέονται] τρομαίονται mendoſe Guelf.

v. 65. πεπέρακεν] πεπέ-

Βασίλειος στρατὸς εἰς ἀντίπορον
Γείτονα χώραν,
Λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
Ἀθαμαντίδος Ἕλλας
Πολύγομφον ὅδισμα
Ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.
ἀντιστρ. Πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων
Ἐπὶ πᾶσαν χθόνα ποιμανόριον
Θεῖον ἐλαύνει
Διχόθεν, πεζονόμοις, ἔκ τε θαλάσσης
Ὀχυροῖσι πεποιθὼς
Στυφελοῖς ἐφέταις, χρυ-
σογόνου γενεᾶς ἰσόθεος φώς.
μονόστρ. Κυάνεον δ' ὄμμασι λεύσσων
Φονίου δέργμα δράκοντος,

VARIETAS LECTIONIS.

ρακεμεν Turn. περσέπτολις] περσέπολις Viteb.

v. 67. χώραν] χθόνα Guelf.

v. 69. Ἕλλας] Ἕλλης Guelf. Ald. Ἕλλας Viteb.

v. 70. ὅδισμα] ἔρεισμα Rob.

v. 73. ποιμανόριον] ποιμανοίριον Viteb.

v. 74. ἐλαύνει] ἐλαύνοι Guelf.

v. 75. πεζονόμοις] πεδιονόμοις Guelf.

v. 77. ἐφέταις] ἀφέταις Rob.

v. 78. χρυσογόνου] χρυσονόμου Ald. Turn. Utrinsque etiam lectionis mentionem facit Schol. γενεᾶς] γυγεᾶς corrupte Viteb. ἰσόθεος] ἰσόθεον in quibusdam Codd. a ſe lectum eſſe testatur Steph. tumque non φὼς, ſed φῶς ſcribendum fuiſſe recte monet. Sed nihil mutandum. Infra de regina occurrit θεῶν ἴσον φάος v. 149. unde fortaſſe aliquis hic genuinam lectionem emendandam putavit.

v. 80. λεύσσων φονίου] βλέπων φονίου Viteb. λεύσων φοινίου Ald. Rob.

Πολύχειρ, καὶ πολυναύτης,
Σύριόν θ' ἅρμα διώκων,
Ἐπάγει δουρικλύτοις ἀν-
δράσι τοξόδαμνον ἄρην.
Δόκιμος δ' οὔ τις ὑποστὰς
Μεγάλῳ ῥεύματι φωτῶν
Ἐχυροῖς ἕρκεσιν εἴργειν
Ἄμαχον κῦμα θαλάσσης.
Ἀπρόσοιστος γὰρ ὁ Περσῶν
Στρατὸς, ἀλκίφρων τε λαός.
Δολόμητιν δ' ἀπάταν θεοῦ
Τίς ἀνὴρ θνατὸς ἀλύξει;
Τίς ὁ κραιπνῷ ποδὶ πηδή-
ματος εὐπετέος ἀνάσσων;
Φιλόφρων γὰρ σαίνου-
σα τὸ πρῶτον, παράγει
Βροτὸν εἰς ἀρκύστατα,

Τόθεν

VARIETAS LECTIONIS.

v. 81. πολύχειρ] πουλύχειρ Ald. Rob.

v. 82. Σύριον] ἀσσύριον Guelf. Rob. Reg. B. ἀσύριον Viteb. Moſqu. Reg. A. Ald. Turn. ἅρμα] ἅμα Moſqu. Ald.

v. 84. ἄρην] ἄρη Rob.

v. 86. φωτῶν] Viteb. add. τάξεσιν, quod e ſcholio verborum ἐχυροῖς ἕρκεσιν fluxit.

v. 87. ἐχυροῖς] ὀχυροῖς Ald.

v. 90. λαὸς] λεὼς Turn. λαὸς, quod et metrum poſcit, eſt in Regg.

v. 91. ἀπάταν] ἀπάτην Guelf. Vit. Moſq.

v. 92. θνατὸς] θνητὸς Vit. θεοῦ — θνατὸς abſunt Moſqu.

v. 94. εὐπετέος] εὐπετέως Moſqu. ἀνάσσων] ἀνάσσων Guelf. Ald. ἀνάσσων φιλόφρων γὰρ omittit Moſqu. ἀναίσσων Turn. ἀναΐσσων Victor.

v. 97. ἀρκύστατα] ἀρκύ-

Τόθεν οὐκ ἔστιν ὑπὲρ θνα-
τὸν ἀλύξαντα φυγεῖν.
στροφὴ ά. Θεόθεν γὰρ κατὰ μοῖρ'
Ἐκράτησεν τὸ παλαι-
όν, ἐπέσκηψε δὲ Πέρσαις
Πολέμους πυργοδαΐκτους
Διέπειν, ἱππιοχάρμας
Τε κλόνους, πόλεών τ' ἀναστάσεις.
ἀντιστρ. ά. Ἔμαθον δ' εὐρυπόροι-
ο θαλάσσας πολιαι-
νομένας πνεύματι λάβρῳ
Ἐσορᾷν πόντιον ἄλσος,
Πίσυνοι λεπτοδόμοις πεί-
σμασι, λαοπόροις τε μηχαναῖς.
στροφὴ β' Ταῦτά μοι μελαγχίτων
Φρὴν ἀμύσσεται φόβῳ,
Ὀά, Περσικοῦ στρατεύματος
Τοῦδε, μὴ πόλις πύθη-
ται κένανδρον μέγ'
Ἄστυ Σουσίδος,
ἀντιστρ. β'. Καὶ τὸ Κίσσινον πόλισμ'

Ἀντί-

VARIETAS LECTIONIS.

σακτα Rob. mendoſe. ἀρχύτατα conj. Pauw.

v. 98. 99. οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα] οὐκ ἔστιν ὕπερθεν ἀλύξαντα. Rob.

v. 104. ἱππιοχάρμας] ἱππιοχάρμονας Viteb. Moſqu.

v. 105. πόλεών τ' ἀναστάσεις] πόλεων τε ἀναστάσεις Turn.

v. 107. θαλάσσας] θαλάσσης Ald. Turn. Cant.

v. 108. πολιαινομένας] πολιαινομένης Ald. Turn. λάβρῳ] λαύρῳ Ald. Rob.

v. 118. Κίσσινον] Κισσίνων Viteb. Moſqu. Rob.

Ἀντίδουπα ἔσσεται·
Ὀᾶ, τοῦτ' ἔπος γυναικοπλη-
θὴς ὅμιλος ἀπύων·
Βυσσίνοις δ' ἐν πέ-
πλοις πέσῃ λακίς.
στροφὴ γ. Πᾶς γὰρ ἱππηλάτας
Καὶ πεδοστιβὴς λεὼς
Σμῆνος ὡς ἐκλέλοιπε
Μελισσᾶν, σὺν ὀρχάμῳ στρατοῦ
Τὸν ἀμφίζευκτον ἐξα-
μείψας ἀμφοτέρας ἅλιον
Πρῶνα κοινὸν αἴας.
ἀντιστρ. γ. Λέκτρα δ' ἀνδρῶν πόθῳ
Πίμπλαται δακρύμασι·
Περσίδες δ' ἁκροπενθεῖς,
Ἑκάστα πόθῳ φιλάνορι

Τὸν

VARIETAS LECTIONIS.

v. 120. τοῦτ' ἔπος absunt Ald. Turn.

v. 124. ἱππηλάτας] τε additur Rob. Vict. Cant. abest autem a codd. Regg. et recte expunxit Brunckius; metrum enim corrumpit.

v. 127. μελισσᾶν] μελισσάων Reg. B. Guelf. μελισσῶν Ald. Turn. Vict. etc. Brunckius veram scripturam assecutus est, μελισσᾶν

v. 128. ἐξαμείψας] ἀμείψας Viteb.

v. 132. πίμπλαται] Sic Viteb. πίμπλανται Guelf. Ald. πεπίμπλαται conj. Arnald. ita hos versus constituens:

λέκτρα δ' ἀνδρῶν πόθῳ πε-
πίμπλαται δακρύμασι.

ut prior esset creticus dim. hypercatal. posterior trochaicus dimeter catalectic. Verum Heathii ratio praeferenda, quam et Brunckius tenuit.

v. 134. ἑκάστα] Sic Codd. Regg. ἕκαστα Viteb. ἑκάστη Turn. πόθῳ] Ferenda non

Τὸν αἰχμάεντα θοῦρον

Εὐνατῆρα προπεμψαμένα

Λείπεται μονόζυξ.

μονοστρ. Ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι

Στέγος

VARIETAS LECTIONIS.

eſt tautologia horum verborum πόθῳ φιλάνορι, cum v. 131. duobus tantum verſiculis interjectis jam poſitum ſit ἀνδρῶν πόθῳ. Saepe jam monuimus, ut copiam et varietatem Aeſchyli lectores obſervarent. Eumne igitur bis eadem in eadem periodo dixiſſe credamus? Abſit per omnem modum. Particula δὲ quoque poſt ἑκάστα vix abeſſe poteſt. Itaque ſic emendandum eſſe h. l. ſtatuo:

ἑκάστα δ' ἔθῃ φιλάνορι

idque cum προπεμψαμένα arctiſſime copulandum. Ὄθη· φροντὶς, ὥρα, φόβος, Heſychius. Senſus: *et unaquaeque bellicoſum virum cura mariti amante proſecuta, ſolitaria relicta eſt:* Pauwius, ut eidem vitio occurreret v. 131. pro ἀνδρῶν πόθῳ legendum putabat ἀνδρῶν πόνῳ. Sed ibi nihil mutandum eſt. φιλάνορι] Lepidam hic Arnaldo fraudem fecit vitium Stanlejanae editionis typographicum; ibi enim exaratum eſt φιλάνορoι, e quo cum ſe Arnaldus expedire non poſſet, nec alias editiones inſpexiſſet, emendandum opinabatur φιλανόρῳ, quod Graecum non eſt; adeoque fordes, ut ita dicam, ſordibus eluebat.

v. 135. αἰχμάεντα] Ita Regg. αἰχμήτάεντα vitioſe Ald. αἰχμήεντα Rob. Turn. Vict. etc.

v. 136. εὐνατῆρα προπεμψαμένα] Hoc ut multo aptius reſtitui e Rob. Vulg. εὐνατῆρ' ἀποπεμψαμένα. Cod. Reg. A. in contextu legit εὐνατῆρα προπεμψαμένα. Primae verbi ſyllabae ſuperſcriptum ἀπὸ tanquam gloſſema.

v. 138. ἄγε] ἄγετε Viteb. quod Zeun. ortum eſſe vidit ab eo, qui ignoraverit ἄγε cum plurali quoque numero recte jungi. ἄγετ' ὦ Rob.

Στέγος ἀρχαῖον,
Φροντίδα κεδνὴν καὶ βαθύβουλον
Θώμεθα, χρεία δὲ προςήκει,
Πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενής, τὸ πατρωνύμιον
Γένος ἁμέτερον·
Πότερον τόξου ῥῦμα τὸ νικῶν,
Ἢ δορυκράνου
Λόγχης ἰσχὺς κεκράτηκεν.
Ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
Φάος ὁρμᾶται μήτηρ βασιλέως,
Βασίλεια δ' ἐμή, τὴν προσπιτνῶ.
Καὶ προςφθόγγοις δὲ χρεὼν αὐτὴν
Πάντας μύθοισι προςαυδᾶν.

ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΧΟΡΟΣ.

Ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
Μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε Δαρείου γύναι,

Θεοῦ

VARIETAS LECTIONIS.

v. 143. πατρωνύμιον] πρωνύμιον ex non intellecto ſcripturae compendio Guelf. πατρώνυμον Moſqu. Sed hic locus mihi videtur interpolatione depravatus. Suſpicionis cauſas expoſui in Commentario ad h. l.

v. 145. πότερον] πρότερον Rob. τόξου ῥῦμα] τόξον ῥῆμα Ald.

v. 146. δορυκράνου] δορικράνου Ald. Rob.

v. 150. τὴν omiſſum Guelf. Ald. Rob. Turn. Vict.

Θεοῦ μὲν εὐνάτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
Εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατοῦ.

ΑΤΟΣΣΑ.

Ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους
Καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον·
Καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
Μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
Μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀνατρέψῃ ποδὶ
Ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
Ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσί,
Μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
Μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
Ἔστι γὰρ πλοῦτος γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
Ὄμμα γὰρ δόμων νομίζω, δεσπότου παρουσίαν.

Πρὸς

VARIETAS LECTIONIS.

v. 155. εὐνάτειρα] εὐνήτειρα Viteb. θεοῦ δὲ καὶ] καὶ omittit Viteb. Ald. Rob.

v. 156. στρατοῦ] στρατῷ Ald. Vict. Genitivum recte restituit Brunckius e Cod. Reg. A.

v. 157. χρυσεοστόλμους] Ita Victor. χρυσεοστίλβους Guelf. Turn. χρυσεοστόλους Viteb. Rob. χρυσοστόλβους mendose Ald.

v. 158. κἀμὸν] Sic Regg. Vit. Ald. Rob. κἀμοῦ Turn. Vict. Cant. εὐνατήριον] εὐναστήριον Guelf.

v. 159. καί με] καί μοι Vit. καί μου Ald.

v. 160. οὐδαμῶς ἐμαυτῆς] ἐμαυτῆς οὐδαμῶς Guelf. Rob.

v. 161. κονίσας] κονίσσας Rob. ἀνατρέψῃ] ἀντρέψῃ vulg. ἀνατρέψῃ Viteb. Reg. A. ἀνατρέψει Mosq.

v. 162. ἦρεν] εἷλεν Ald.

v. 164. σέβειν] πέλειν conj. Pauwius, sed nihil opus.

v. 167. νομίζω] νομίζου Vit. δεσπότου] δεσπότης Ald.

Πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
Τοῦδε μοι γίνεσθε, Πέρσαι, γηραλέα πιστώματα.
Πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.

ΧΟΡΟΣ.

Εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
Μήτ' ἔπος, μήτ' ἔργον, ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ.
Εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

ΑΤΟΣΣΑ.

Πολλοῖς μὲν ἀεὶ νυκτέροις ὀνείρασι
Ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
Ἰάνων γῆν οἴχεται, πέρσαι θέλων·
Ἀλλ' οὔ τι πω τοιόνδ' ἐναργὲς εἰδόμην
Ὡς τῆς πάροιθεν εὐφρόνης· λέξω δέ σοι.
Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
Ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
Ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
Μεγέθει τε τῶν νῦν ἐκπρεπέστατα πολύ,
Κάλλει τ' ἀμώμω, καὶ κασιγνήτα γένους

Ταυ-

VARIETAS LECTIONIS.

v. 168. ὡς abest Viteb.

v. 169. γηραλέα] γηραλαία vitiose Ald. Rob.

v. 172. ὧν ἂν] ὡς ἂν Rob. θέλῃ] θέλει Ald.

v. 174. ἀεὶ] Sic ambo codd. Regg. Rob. Vulg. αἰεί.

v. 175. ἀφ' οὗπερ] ἀφ' οὗ Guelf.

v. 178. ὡς τῆς] ὥς τις Ald.

v. 179. γυναῖκ' εὐείμονε] γυναῖκες εὐείμονες Viteb. γυναῖκ' εὐείμονες Ald. Turn.

v. 182. ἐκπρεπέστατα] εὐπρεπέστατα Guelf. Ald. Turn.

v. 183. ἀμώμω] ἀμώμῳ Ald.

Ταυτοῦ· πάτραν δ' ἔναιον, ἡ μὲν Ἑλλάδα
Κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
Τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾷν,
Τεύχειν ἐν ἀλλήλησι· παῖς δ' ἐμὸς μαθὼν
Κατεῖχε, κἀπραΰνεν, ἅρμασιν δ' ὕπο
Ζεύγνυσιν αὐτώ, καὶ λέπαδν' ἐπ' αὐχένων
Τίθησι. Χ' ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ,
Ἐν ἡνίαισι δ' εἶχεν εὔαρκτον στόμα·
Ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου
Διασπαράσσει, καὶ ξυναρπάζει βίᾳ
Ἄνευ χαλινῶν, καὶ ζυγὸν θραύει μέσον.
Πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφέ. Τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι.
Καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
Ἐπεὶ δ' ἀνέστην, καὶ χεροῖν καλλιῤῥόου
Ἔψαυσα πηγῆς, ξὺν θυηπόλῳ χερὶ
Βωμῷ προσέστην, ἀποτρόποισι δαίμοσι
Θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
Ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι·

Μεθύ-

VARIETAS LECTIONIS.

v. 184. ταυτοῦ] αὐτοῦ Mosqu.

v. 187. ἀλλήλησι — μαθὼν] ἀλλήλοισι — λαθὼν Viteb. ἀλλήλαιν — μαθὼν Ald. ἀλλήλοισι — τοῦτο μαθὼν Rob.

v. 188. κἀπραΰνεν] καὶ πραΰνεν Ald.

v. 189. αὐτώ] αὐτῷ Ald.

v. 193. χεροῖν ἔντη δίφρου] χεροῖν ἐν τῇ δίφρου Guelf. Ald. Rob. etc. Canter conj. χεροῖν αὐτὴ δίφρον. Sed nihil evidentius est emendatione Stanleji ἔντη, quam contra Heathium recte defendit Brunckius.

v. 201. βωμῷ] βωμὸν Guelf.

Μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
Πτεροῖς ἐφορμαίνοντα, καὶ χηλαῖς κάρα
Τίλλονθ᾽· ὁ δ᾽ οὐδὲν ἄλλο γ᾽, ἢ πτήξας δέμας
Παρεῖχε. Ταῦτ᾽ ἔμοιγε δείματ᾽ ἔστ᾽ ἰδεῖν,
Ὑμῖν δ᾽ ἀκούειν. Εὖ γὰρ ἴστε, παῖς ἐμὸς
Πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ᾽ ἀνήρ·
Κακῶς δὲ πράξας, οὐχ ὑπεύθυνος πόλει,
Σωθεὶς δ᾽ ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

ΧΟΡΟΣ.

Οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ᾽ ἄγαν φοβεῖν λόγοις,
Οὔτε θαρσύνειν· θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
Εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ᾽ ἀποτροπὴν τελεῖν,
Τὰ δ᾽ ἀγάθ᾽ ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν,
Καὶ πόλει, φίλοις τε πᾶσι. Δεύτερον δὲ χρὴ χοὰς
Γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ᾽ αἰτοῦ τάδε
Σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ᾽ εὐφρόνην,
Ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος·

Τᾶμ-

VARIETAS LECTIONIS.

v. 206. κάρα] τὸ κάρα Viteb.

v. 208. παρεῖχε] τῷ κερκῷ τύπτεσθαι παρεῖχε Ald. glossemate in textum recepto. δείματ᾽ ἔστ᾽ ἰδεῖν] Stanlej. conj. δεῖμά τ᾽ ἐστ᾽ ἰδεῖν.

v. 212. ὁμοίως] Veram lectionem inique sollicitat Pauw., ut substituat suam ὁποίως, quam sic interpretatur: *quomodo imperabit huic terrae?*

v. 214. θαρσύνειν] θρασύνειν Mosqu.

v. 215. τελεῖν] λαβεῖν Guelf. Ald. Turn. τελεῖν Vit. Mosqu. Rob. Vict. etc.

v. 216. τέκνοις σέθεν] τέκνοισέ τε vitiose pro τέκνοισί τε Vit.

v. 217. καὶ πόλει usque ad ἔνερθεν v. 220. absunt Mosq.

v. 218. πρευμενῶς] πρευμενῆν Ald. πρευμενῆ Turn.

Τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχ' ἀμαυροῦσθαι σκότῳ.
Ταῦτα, θυμόμαντις ὤν, σοὶ πρευμενῶς παρῄνεσα.
Εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.

ΑΤΟΣΣΑ.

Ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς,
Παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν·
Ἐκτελοῖτο δὴ τὰ χρηστά. Ταῦτα δ', ὡς ἐφίεσαι,
Πάντα θήσομεν θεοῖσι, τοῖς τ' ἔνερθε γῆς φίλοις,
Εὖτ' ἂν εἰς οἴκους μόλωμεν. Κεῖνα δ' ἐκμαθεῖν θέλω,
Ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρύσθαι χθονός.

ΧΟΡΟΣ.

Τῆλε πρὸς δυσμὰς ἄνακτος Ἡλίου φθινασμάτων.

ΑΤΟΣΣΑ.

Ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.

ΧΟΡΟΣ.

Πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.

ΑΤΟΣΣΑ.

Ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;

VARIETAS LECTIONIS.

v. 221. τἄμπαλιν] τοὔμπαλιν Viteb.

v. 224. εὔνους γ'] abeſt γ' Vit.

v. 225. ἐμοῖσι] omiſſum Ald. ἐκύρωσας] ἔκυρσας Robort.

v. 226. ἐκτελοῖτο] ἐξιλεοῖτο Vit. Moſqu. Vict. δὴ] δὲ Ald. Rob.

v. 227. ἔνερθε] ἔνερθεν Vit. γῆς] omiſſum Ald.

v. 230. πρὸς δυσμὰς] πρὸς δυσμαῖς Guelf. Ald. πρὸς δυσμᾶς Viteb. πρὸς δυσμὰς Brunck. dedit e Reg. A.

v. 233. ὧδέ τις] ὧδε; τίς Turn.

ΧΟΡΟΣ.

Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.

ΑΤΟΣΣΑ.

Καὶ τί πρὸς τούτοισιν ἄλλα; πλοῦτος ἐξαρκὴς δόμοις;

ΧΟΡΟΣ.

Ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.

ΑΤΟΣΣΑ.

Πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερῶν αὐτοῖς πρέπει;

ΧΟΡΟΣ.

Οὐδαμῶς· ἔγχη σταδαῖα, καὶ φεράσπιδες σαγαί.

ΑΤΟΣΣΑ.

Τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ;

ΧΟΡΟΣ.

Οὔ τινος δοῦλοι κέκληνται φωτός, οὐδ' ὑπήκοοι.

ΑΤΟΣΣΑ.

Πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;

ΧΟ-

VARIETAS LECTIONIS.

v. 234. ἔρξας πολλὰ δὴ Μ. κακά] ἔρξας δὴ Μήδους πλεῖστα κακὰ Rob.

v. 235. καὶ — ἄλλο; πλοῦτος] καὶ τί πρὸς τούτοις πλοῦτος Ald. Post ἄλλο nullum distinctionis signum Rob.

v. 236. αὐτοῖς ἐστι] αὐτοῖς ἔστιν αὐτοῖς Ald.

v. 237. χερῶν] $χ^{ε}_{ει}ρὸς$ sic Mosqu. χερός γ' Vict. Porf. Sed γ' abest Mosqu. Regg. Ald., unde Brunckius metri causa dedit διὰ χερῶν.

v. 238. φεράσπιδες] $φερασπιδ^{ες}_{αι}$ sic Mosqu. σαγαὶ] χέρες Rob.

v. 239. ποιμάνωρ] ποιμάντωρ Ald. Turn. ἔπεστι] ἐπέστη Mosq. στρατοῦ] στρατῷ Mosqu. Rob.

ΧΟΡΟΣ.

Ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.

ΑΤΟΣΣΑ.

Δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

ΧΟΡΟΣ.

Ἀλλ', ἐμοὶ δοκεῖν, τάχ' εἴσει πάντα νημερτῆ λόγον·
Τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
Καὶ φέρει σαφές τι πρᾶγος, ἐσθλὸν ἢ κακὸν κλύειν.

ΑΓΓΕΛΟΣ. ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΑΓΓΕΛΟΣ.

Ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
Ὦ Περσὶς αἶα, καὶ πολὺς πλούτου λιμήν,
Ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
Ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσόν.
Ὤ μοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·

VARIETAS LECTIONIS.

v. 244. δοκεῖν] δοκεῖ Mosq. δοκεῖν Vit. τάχ' εἴσῃ πάντα] πάντ' εἴσῃ τάχα Guelf. τάχ' abest Rob.

v. 245. δράμημα] δρόμημα Mosqu.

v. 246. τι πρᾶγος] τοι πρᾶγος Mosqu. κλύειν] excidit Rob.

v. 247. Ἀσιάδος] Ἀσιάτιδος Ald.

v. 250. τὸ Περσῶν δ'] τὸ δὲ Περσῶν Ald. Rob.

Ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος
Πέρσαις. στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

ΧΟΡΟΣ.

στροφὴ α. Ἄνι', ἄνια κακὰ
Νεόκοτα, καὶ δάϊ', αἶ, αἶ.
Διαίνεσθε Πέρσαι
Τόδ' ἄχος κλύοντες.

ΑΓΓΕΛΟΣ.

Ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
Καὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 252. ἀναπτύξαι] ἀναπτύσαι Ald. Rob. Post hunc versum additur in Rob. hic versiculus:

Στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

Eundem Guelf. commodius post v. 251. inserit. Sed supposititium esse Stephanus recte conjecit, et Abreschius Sophocleum esse Antig. 283. unde eum aliquis illustrationis causa, quod et Schol. fecit, adhibiturus ad marginem scripserit, e quo deinde in textum a nonnullis receptus sit.

v. 253. Πέρσαις] Πέρσας legitur in Ald. in fine antecedentis versiculi; h. l. autem repetitur Πέρσαι. Πέρσαις e cod. Reg. B. rescripsit Brunck. loco vocativi adhuc editi.

v. 254. ἄνι' — κακὰ] ἄνια ἄνια κακὰ λυπηρὰ λυπηρὰ Ald. Rob. ἄνια ἄνια κακὰ Turn. Male Pauwius et Heathius ἄνια mutari volunt in αἰνά.

v. 255. νεόκοτα] νεότοκα Rob. δάϊ'] δάϊα Guelf. Rob.

v. 256. διαίνεσθε] σιαίνεσθε sic Mosqu. διαίνεσθαι Guelf. Ald. δαίνεσθε δάκουσι Rob. ubi tamen auctor additamenti scripsit δάκρυσι; quod scilicet intelligendum erat, non scribendum.

v. 258. ὡς πάντα γ' ἔστ'] ὡς πάντ' ἔστ' Ald. Rob. ἔστ' ἐκεῖνα] ἔσται κεῖνα Mosqu.

v. 259. βλέπω] βλέπε Ald.

ΧΟΡΟΣ.

ἀντιστρ. ά. Ἦ μακροβίοτος
Ὅδε γέ τις αἰὼν ἐφάνθη
Γεραιοῖς, ἀκούειν
Τόδε πῆμ' ἄελπτον.

ΑΓΓΕΛΟΣ.

Καὶ μὴν παρὼν γε, κοὐ λόγους ἄλλων κλύων
Πέρσαι, φράσαιμ' ἂν, οἷ' ἐπορσύνθη κακά.

ΧΟΡΟΣ.

στροφὴ β'. Ὀττοττοτοῖ, μάταν
Τὰ πολλὰ βέλεα παμμιγῆ
Γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν
Δίαν, Ἑλλάδα χώραν.

ΑΓΓΕΛΟΣ.

Πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων
Σαλαμῖνος ἀκταί, πᾶς τε πρόσχωρος τόπος.

ΧΟΡΟΣ.

ἀντιστρ. β'. Ὀττοττοτοῖ, φίλων
Ἁλίδονα σώματα πολυβαφῆ

VARIETAS LECTIONIS.

v. 261. ὅδε γέ τις] ὧδε γέ τις Ald. ἐφάνθη] ἐφάνη Vit. ἐφαάνθη Ald. Turn.

v. 262. γεραιοῖς] γηραιοῖς Ald.

v. 264. γε] τε Mosq. Vit.

v. 265. Πέρσαι] Πέρσαις Rob.

v. 268. Ἀσίδος] Ἀσιάδος Vit.

v. 270. δυσπότμως] δυσπότμους Mosqu.

v. 271. πρόσχωρος] πρόχωρος Mosqu. Ald.

v. 273. ἁλίδονα σώματα πολυβαφῆ] Arnaldus, ut hic versus secundo strophes secundae respondeat, ejecto vocabulo σώματα, quod

Κατθανόντα λέγεις φέρεσθαι
Πλαγκτοῖς ἐν διπλάκεσσιν.

ΑΓΓΕΛΟΣ.

Οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
Στρατός, δαμασθεὶς ναΐησιν ἐμβολαῖς.

ΧΟΡΟΣ.

στροφὴ γ'. Ἴυζ' ἄποτμον βοὰν
Δυςαιανῆ Πέρσαις
Δαΐοις, ὡς πάντα παγκάκως
Ἔθεσαν, αἶ, αἶ, στρατοῦ φθαρέντος.

ΑΓΓΕΛΟΣ.

Ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν
Φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος.

ΧΟΡΟΣ.

ἀντιστρ. γ'. Στυγναί γ' Ἀθᾶναι δαΐοις·
Μεμνῆσθαί τοι πάρα

Ὡς

VARIETAS LECTIONIS.

ut v. 596. fubintelligi poffit, ita fcribendum opinatur: ἀλίδονα πολυβαφῆ τε.

v. 274. κατθανόντα] καταθανόντα Vit.

v. 275. ἐν διπλάκεσσιν] σὺν διπλάκεσσιν inepte corrigit Pauw.

v. 276. ἀπώλλυτο] ἀπώλυτο Ald.

v. 277. στρατὸς] λεὼς Guelf. ναΐησιν] ναΐοισιν Turneb.

v. 278. ἴυζ'] ἴυζε Turn.

v. 280. πάντα παγκάκως] Sic Mofqu. Vit. πάντα κακῶς Guelf.

v. 282. κλύειν] καλὸν add. Mofqu.

v. 284. στυγναί γ' Ἀθᾶναι] στυγναὶ δ' Ἀθῆναι Guelf. Turn.

v. 285. τοι] τι Mofqu. Vit.

Ὡς πολλὰς Περσίδων μάταν
Ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους.

ΑΤΟΣΣΑ.

Σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
Κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορὰ,
Τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι πάθη.
Ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν,
Θεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάθος
Λέξον καταστὰς, κεἰ στένεις κακοῖς ὅμως,
Τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
Τῶν ἀρχελείων, ὃς τ' ἐπὶ σκηπτουχίᾳ
Ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.

ΑΓΓΕΛΟΣ.

Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει.

ΑΤΟΣΣΑ.

Ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα,
Καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.

VARIETAS LECTIONIS.

v. 286. πάρα ὡς πολλὰς] Hiatus vitandi caufa, quod tamen neceffarium non eft, transponere malebat Abreſchius:

μεμνῆσθαί τοι πάρα πολλὰς
ὡς Περσίδων —

Περσίδων] τῶν Περσίδων Mofq. Vit.

v. 289. ὑπερβάλλει] ὑπερβάλλοι Vit.

v. 291. βροτοῖς] βροτοὺς Vit. Ald. Turn.

v. 296. θανών] θανεῖν^ών^ fic Mofqu.

v. 297. μὲν abeft Mofqu.

v. 298. δώμασιν] δόμοισι Mofqu. Viteb.

v. 299. μελαγχίμου] μελαγχείμου Ald.

ΑΓΓΕΛΟΣ.

Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
Στυφλοὺς παρ᾽ ἀκτὰς θείνεται Σιληνίων·
Χὠ χιλίαρχος Δαδάκης, πληγῇ δορός,
Πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ᾽ ἄριστος Βακτρίων ἰθαγενὴς
Θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος, Ἀρσάμης τε κ᾽ Ἀργήστης τρίτος,
Οἵδ᾽ ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
Νικώμενοι ᾽κύρισσον ἰσχυρὰν χθόνα·
Πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου,
Ἀρκτεύς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος,
Φαρνοῦχος, ἧδε ναὸς ἐκ βαιᾶς πεσὼν
Χρυσεύς, Μάταλλος μυριόνταρχος θανὼν,
Ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,

Πυῤῥὰν

VARIETAS LECTIONIS.

v. 301. παρ᾽ ἀκτὰς] παρακταῖς Mosqu. Σιληνίων] Δηνίων Mosqu.

v. 302. πληγῇ] πληγεὶς Vit.

v. 303. ἀφήλατο] ἀφήλλατο Mosqu. Ald.

v. 304. τενάγων] τανάγων Ald. τενέγων Rob. ἰθαγενὴς] ἰθαιγενὴς Rob.

v. 307. πελειοθρέμμονα] πελειοθρέμονα Ald.

v. 309. Αἰγυπτίου] Αἰγυπτίου / Αἰγυπτία sic Mosqu.

v. 310. Φερεσσεύης] Sic scriptum nomen Brunckius in utroque cod. Reg. reperit. Φρεσεύης Mosqu. Φερεσέβης Ald. Φρεσεύης Rob.

v. 311. ἧδε — βαιᾶς πεσὼν] Ex Hermanni emendatione praef. ad Eurip. Hecubam p. XXX. οἵδε νεὼς ἐκ μιᾶς πέσον Ald. οἵτε νεὼς ἐκ μιᾶς πέσον Rob. οἵδε ναὸς ἔπεσον ἐκ μιᾶς Porson.

v. 312. Μάταλλος] μάταλος Mosqu.

Πυῤῥὰν ζαπληθῆ δάσκιον γενειάδα
Ἔτεγγ', ἀμείβων χρῶτα πορφυρέᾳ βαφῇ.
Καὶ Μᾶγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος,
Σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμηστρις, Ἀμφιστρεύς τε πολύπονον δόρυ
Νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσι
Πένθος παρασχών, Σησάμης θ' ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
Ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,
Κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς.
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἔπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
Ἐχθροῖς παρασχών, εὐκλεῶς ἀπώλετο.
Τοιῶνδε γ' ἀρχόντων ὑπεμνήσθην πέρι·

Πολ-

VARIETAS LECTIONIS.

v. 314. πυῤῥὰν] πυρὰν Moſqu. δάσκιον] δάσκειον idem.

v. 316. καὶ Μᾶγος Ἄραθος] καὶ μέγος ἄῤῥαβος Ald. καὶ μάγος ἄῤῥαβος Rob. καὶ μᾶγος Ἄραθος Turn. Ἀρτάμης] ἀρσάβης Rob.

v. 318. Ἄμηστρις] Ita Brunckius reſcripſit. ἀμίστρις Rob. Sic et Codd. Regg.

v. 320. Σησάμης] Sic et Viteb. σεισάρχης Ald. Rob. Vict. Copulam θ' Brunck. inſeruit e MSS. Regg.

v. 321. Θάρυβις] Θάρμις Rob.

v. 323. εὐτυχῶς] εὐτυχῶν Rob.

v. 324. συέννεσίς τε] σύνεσίς τε Moſqu. Rob.

v. 325. ἔπαρχος] Hoc Brunckius in cod. Reg. B. notatum invenit pro varia lectione. ἄπαρχος Rob. Vict.

v. 326. εὐκλεῶς] ἀνηλεῶς Guelf.

v. 327. τοιῶνδε γ' ἀρχόντων] τοιῶνδ' ἀρχόντων Moſq. hiante metro. τοιῶνδ' ἀρχόντων νῦν Ald. τοιῶνδέ γ'

Πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.

ΑΤΟΣΣΑ.

Αἶ αἶ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
Αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
Ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
Πόσον δὲ πλῆθος ἦν νεῶν Ἑλληνίδων,
Ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
Μάχην ξυνάψαι ναΐησιν ἐμβολαῖς;

ΑΓΓΕΛΟΣ.

Πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους
Ναυσὶ κρατῆσαι. Καὶ γὰρ Ἕλλησιν μὲν ἦν
Ὁ πᾶν ἀριθμὸς ἐς τριακάδας δέκα
Νεῶν, δέκας δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν,
Ὧν ἦγε, πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει

Ἑκα-

VARIETAS LECTIONIS.

ἀρχόντων νῦν Rob. Vict. τοιῶνδ' ἄρ' ὄντων νῦν Turn. metro quidem restituto, sed incerta auctoritate. Stanlejo placebat τοιῶνδέ γ' ἀρχόντων νυν. Canter. vero conjecerat: τοιῶνδέ γ' ἀρχῶν νῦν. Nos Brunckium secuti sumus.

v. 328. ἀπαγγέλλω] ἀπαγγελῶ Rob. Turn. ἀναγγέλλω Guelf.

v. 331. ἀτὰρ] αὐτὰρ Mosq.

v. 332. πόσον δὲ] πόσον δὴ Rob. πόσον τὶ Turn. πόσον δὲ. Guelf.

v. 334. ναΐησιν ἐμβολαῖς] δαΐοισι συμβολαῖς Mosqu. ναΐοισι συμβολαῖς Vit. ναΐησιν ἐμβολαῖς Ald.

v. 335. ἂν] abest Mosqu. βαρβάρους] βαρβάρων Mosqu. Vit.

v. 336. καὶ abest Mosqu.

v. 340. ὧν ἦγε πλῆθος] Plutarchus in Themistocle, ubi h. l. citat, legit νεῶν τὸ πλῆθος. ὑπέρκομποι] ὑπέρκαμποι Mosqu.

Ἑκατὸν δὶς ἦσαν, ἑπτά θ᾽. Ὧδ᾽ ἔχει λόγος.
Μή σοι δοκῶμεν τῆδε λειφθῆναι μάχῃ·
Ἀλλ᾽ ὧδε δαίμων τις κατέφθειρε στρατόν,
Τάλαντα βρίσας οὐκ ἰσοῤῥόπῳ τύχῃ.

ΑΤΟΣΣΑ.

Θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.

ΑΓΓΕΛΟΣ.

Ἔστ᾽ ἄρ᾽ Ἀθηνῶν, ἔστ᾽ ἀπόρθητος πόλις.
Ἀνδρῶν γὰρ ὄντων, ἕρκος ἐστὶν ἀσφαλές.

ΑΤΟΣΣΑ.

Ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν φράσον,
Τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
Ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν.

ΑΓΓΕΛΟΣ.

Ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
Φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
Ἀνὴρ γὰρ Ἕλλην, ἐξ Ἀθηναίων στρατοῦ
Ἐλθών, ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
Ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μένοιεν, ἀλλὰ σέλμασι

Νεῶν

VARIETAS LECTIONIS.

v. 342. δοκῶμεν] δοκοῦμεν Ald. λειφθῆναι] $\text{ληφθ}^{\text{ῆν}}_{\text{αι}}$ sic Mosqu.

v. 346. Hic versus Atossae tribuitur et legitur ἔτ᾽ ἄρ᾽ Ἀθηνῶν ἐστ᾽ ἀπόρθητος πόλις Rob. ἔτ᾽ ἄρ᾽ legitur etiam in Mosqu. Vit. Guelf.

v. 351. ἦρξεν] ἦρξε Guelf. Ald. Turn. ἦρξεν sine μὲν Rob.

v. 356. σέλμασιν] σέλμασι Ald.

Νεῶν ἐπενθορόντες, ἄλλος ἄλλοσε
Δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσαίατο.
Ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς, οὐδὲ τὸν θεῶν φθόνον
Πᾶσι προφωνεῖ τόνδε ναυάρχοις λόγον·
Εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
Λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
Τάξαι νεῶν μὲν στῖφος ἐν στίχοις τρισὶν,
Ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιῤῥόθους,
Ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ,
Ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν,
Ναυσὶ κρυφαίως δρασμὸν εὑρόντες τινὰ,
Πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
Τοιαῦτ' ἔλεξε κάρθ' ὑπ' ἐκθύμου φρενός.
Οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
Οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ

Δει-

VARIETAS LECTIONIS.

v. 357. νεῶν] νῦν Mosqu. ἐπενθορόντες] ἐπανθορόντες Mosqu. Vit. Rob.

v. 358. κρυφαίῳ βίοτον] κ. βίον Mosqu. κρυφαίᾳ βίον Viteb.

v. 361. ναυάρχοις] ναυάρχαις Ald. ναυάρχ$^{οις}_{αις}$ Guelf.

v. 362. χθόνα] φλόγα Rob.

v. 364. μὲν στῖφος] στίφος μὲν Ald. Rob. στῖφος μὲν Guelferb. Turn. στίχοις] στίχ$^{οις}_{αις}$ sic Mosqu.

v. 365. ἁλιῤῥόθους] ἁλιῤῥόθους Ald. Rob.

v. 367. φευξοίαθ'] φευξοίενθ' Rob.

v. 369. στέρεσθαι] στερίσκεσθαι Mosqu.

v. 370. τοιαῦτ'] τοσαῦτ' Rob. Guelf. ὑπ' ἐκθύμου] Guelf. ὑπερθύμου Rob. Mosqu. ὑπ' εὐθύμου Vict. φρενὸς] φρενὶ Mosqu.

v. 372. πειθάρχῳ] πιθάρχῳ Mosqu.

Δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
Τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
Ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο,
Καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
Ἐς ναῦν ἐχώρει, πᾶς δ' ὅπλων ἐπιστάτης,
Τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς.
Πλέουσι δ', ὡς ἕκαστος ἦν τεταγμένος,
Καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
Νεῶν ἄνακτες πάντα ναυτικὸν λεών.
Καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
Κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο.
Ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
Πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν
Πρῶτον μὲν ἠχοῖ κέλαδος Ἑλλήνων πάρα

Μολ-

VARIETAS LECTIONIS.

v. 373. δεῖπνόν τ'] abest τ' hiante metro. Guelf. Ald. Rob. Turn. Vict. δεῖπνόν γ' conj. Stanl. Sed melius cum Brunckio δεῖπνόν τ' scribitur. ναυβάτης] ναύτης Ald. ναυάτης Turn. Vict. Guelf. ναυβάτης cum Brunckio rescripsimus, cum dudum inter Philologos constet ναυάτης Graecum non esse.

v. 374. τροποῦτο] Sic Turn. Vulg. ἐτροποῦτο.

v. 377. ἐς ναῦν] ἐς ναῦς Mosqu. Guelf.

v. 378. νεὼς μακρᾶς excidit Mosqu.

v. 380. καὶ πάννυχοι δὴ διάπλοον] πάννυχοι δὴ διάπλουν Rob.

v. 381. νεῶν] ναῶν Rob.

v. 385. κατέσχε] κατάγε Mosqu. γαῖαν] γῆν Ald.

v. 386. ἠχοῖ] ἠχῇ Ald. Turn. ἠχεῖ Rob. Mosqu. ἤδη conj. Pauw. ἠχοῖ ex ingeniosa Piersoni conjectura (ad Moerin. p. 176.), quam confirmat Cod. Reg. B. ubi vulgato ἠχῇ superscriptum ἠχοῖ.

Μολπηδὸν ηὐφήμησεν, ὄρθιον δ' ἅμα
Ἀντηλάλαξε νησιώτιδος πέτρας
Ἠχώ· Φόβος δὲ πᾶσι βαρβάροις παρῆν
Γνώμης ἀποσφαλεῖσιν. Οὐ γὰρ ὡς φυγῇ
Παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
Ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
Σάλπιγξ δ' αὐτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
Εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
Ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
Θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν.
Τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας
Ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
Ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
Πολλὴν βοήν· Ὦ παῖδες Ἑλλήνων ἴτε,
Ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
Παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
Θήκας τε προγόνων, νῦν ὑπὲρ πάντων ἀγών.
Καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος
Ὑπηντίαζε, κοὐκέτ' ἦν μέλλειν ἀκμή.

Εὐθὺς

VARIETAS LECTIONIS.

v. 387. ηὐφήμησεν] εὐφήμησεν Ald. Rob.

v. 390. οὐ γὰρ ὡς φυγῇ] οὐδὲ γὰρ ὡς ἐν φυγῇ Ald. οὐ γὰρ φυγεῖν Rob.

v. 392. ὁρμῶντες] ὁρῶντας Guelf. Rob.

v. 394. εὐθὺς] Sic Mosqu. Vit. item Regg. Vulg. ἐπεὶ.

v. 395. κελεύσματος] κελεύματος Mosqu.

v. 396. ἦσαν] εἶσαν Ald. ἐκφανεῖς] ἐκφανῆς Mosqu.

v. 397. εὔτακτον] εὐτάκτως Mosqu. Guelf.

v. 399. ἐπεξεχώρει] Sic Mosqu. Viteb. Regg. Ald. Turn. Reliqui ὑπεξεχώρει.

v. 401. ἐλευθεροῦτε δὲ] ἐλοῦτο δὴ sic Mosqu.

Εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον
Ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
Ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
Κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.
Τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ
Ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
Ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
Αὐτοὶ δ' ὑφ' αὐτῶν ἐμβολαῖς χαλκοστόμοις
Παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως
Κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὴ
Σκάφη νεῶν, θάλασσα δ' οὐκέτ' ἦν ἰδεῖν
Ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·

Ἀκταὶ

VARIETAS LECTIONIS.

v. 409. ἴθυνεν] ἴθυνε Mosq. Guelf. εὔθυνεν cod. Reg. B. in contextu et pro V. L. ἴθυνεν.

v. 410. τὰ πρῶτα] καὶ πρῶτα Rob. μὲν δὴ] μὲν οὖν Ald. Rob. Mosqu.

v. 411. νεῶν] νεῶν τῶν Περσικῶν Guelf. e glossa.

v. 413. ὑφ' αὐτῶν] ὑπ' αὐτῶν Mosqu. Ald. Vict. ἐμβολαῖς] Mallet quis forte ἐμβόλοις. Brunck.

v. 414. παίοντ'] Male Heathius corrigendum putabat ἐπαίοντ'. Recte enim Brunckius admonuit diphthongum αι in senario nunquam corripi. Porsonus edidit παισθέντ'. Vulgatam defendit Hermannus praefat. ad. Eur. Hecub. p. XXXII.

v. 416. ὑπτιοῦτο δὴ] ὑπτιοῦτο δὲ Guelf. Ald. Turn. Vict. δὴ ex Heathii emendatione post Brunckium recepimus.

v. 417. θάλασσα] θάλασσαν Ald. θάλασσαν sine δ' Vict.

v. 418. πλήθουσα] πλήθουσαν Ald. Vict.

Ἀκταὶ δὲ νεκρῶν χοιράδες τ᾽ ἐπλήθυον·
Φυγῇ δ᾽ ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
Ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος.
Τοὶ δ᾽ ὥστε θύννους ἤ τιν᾽ ἰχθύων βόλον
Ἀγαῖσι κωπῶν, θραύσμασίν τ᾽ ἐρειπίων
Ἔπαιον, ἐῤῥάχιζον, οἰμωγὴ δ᾽ ὁμοῦ
Κωκύμασιν κατεῖχε πελαγίαν ἅλα
Ἕως κελαινῆς νυκτὸς ὄμμ᾽ ἀφείλετο.
Κακῶν δὲ πλῆθος, οὐδ᾽ ἂν εἰ δέκ᾽ ἤματα
Στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
Εὖ γὰρ τόδ᾽ ἴσθι μηδάμ᾽ ἡμέρᾳ μιᾷ
Πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.

ΑΤΟΣΣΑ.

Αἶ αἶ, κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.

ΑΓΓΕ-

VARIETAS LECTIONIS.

v. 419. ἐπλήθυον] sic Reg. A. a prima manu; litera ν postmodum addita. ἐκπλήθυνον Turn. Vict. ἐπλήθυνον Mosqu. Guelf. Reg. B. Ald. ἐπλήθυνεν Viteb.

v. 423. θραύσμασίν τ᾽] θραύσμασί τ᾽ Ald. θραύμασί τ᾽ Mosqu. Viteb. Rob.

v. 424. ἐῤῥάχιζον] ἐράχιζον Mosqu.

v. 425. κωκύμασιν] κωκύμασι Ald. πελαγίαν] πελασγίαν Mosqu Guelf.

v. 427. εἰ δέκ᾽] εἰς δέκ᾽ Ald.

v. 428. στοιχηγοροίην] στιχηγοροίην Mosqu. ἐκπλήσαιμί σοι] ἐπλήσαιμί σοι Mosqu.

v. 429. μηδάμ᾽ ἡμέρᾳ] Sic optime Brunckius e Reg. A. Vict. μηδ᾽ ἂν ἡμέρᾳ Guelf. Ald. Rob. Turn.

v. 430. τοσουτάριθμον] τοσοῦτ᾽ ἀριθμὸν Turn. Guelf. Olim in quibusdam libris teste Schol. inverso ordine erat τοσόυτάριθμον πλῆθος.

v. 431. ἔῤῥωγεν] ἔῤῥωγε Ald. Turn. ἔῤῥωται Mosqu.

ΑΓΓΕΛΟΣ.

Εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακῶν,
Τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
Ὡς τοῖςδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.

ΑΤΟΣΣΑ.

Καὶ τίς γένοιτ' ἂν τῆςδ' ἔτ' ἐχθίων τύχη;
Λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
Ἐλθεῖν, κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.

ΑΓΓΕΛΟΣ.

Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν,
Ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς,
Αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
Τεθνᾶσιν οἰκτρῶς δυςκλεεστάτῳ μόρῳ.

ΑΤΟΣΣΑ.

Οἲ ἐγὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι·
Ποίῳ μόρῳ δὲ τούςδε φῂς ὀλωλέναι;

VARIETAS LECTIONIS.

v. 433. κακῶν] κακὸν Moſqu. Viteb. Guelf.

v. 434. ἐπ' αὐτοὺς] ἐπ' αὐτοῖς Viteb. Ald. Rob. ἐπ' αὐτῆς Moſqu.

v. 436. τῆςδ' ἔτ' ἐχθίων] τῆςδε τ' ἐχθίων Regg. Ald. Rob. Turnebum recte ſecutus eſt Brunckius.

v. 437. τίν' αὖ] τί δ' αὖ Guelf.

v. 440. κεὐγένειαν] καὶ εὐγένειαν Moſqu. Ald. Rob. ἐκπρεπεῖς] εὐπρεπεῖς Moſqu. Guelf. Edd. ante Brunckium, qui ἐκπρεπεῖς pro V. L. invenit in Reg. B.

v. 442. οἰκτρῶς] αἰσχρῶς Guelf. Reg. A. Moſqu. Vit. δυςκλεεστάτῳ] δυςτυχεστάτῳ Reg. A. Guelf. μόρῳ] πότμῳ Moſqu.

v. 444. ποίῳ μόρῳ δὲ] δὲ omiſſum Ald.

ΑΓΓΕΛΟΣ.

Νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
Βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
Ἐνταῦθα πέμπει τούσδ', ὅπως, ὅταν νεῶν
Φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
Κτείνοιεν εὐχείρωτον Ἑλλήνων στρατόν,
Φίλους δ' ὑπεκσώζοιεν ἐναλίων πόρων,
Κακῶς τὸ μέλλον ἱστορῶν. Ὡς γὰρ θεὸς
Ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
Αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
Ὅπλοισι ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
Κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
Ὅποι τράποιντο. Πολλὰ μὲν γὰρ ἐκ χερῶν
Πέτρησιν ἠράσσοντο, τοξικῆς τ' ἄπο

Θώμιγ-

VARIETAS LECTIONIS.

v. 445. πρόσθε] πρόσθεν Mosqu. Vit. Ald.

v. 446. ναυσὶν] νηυσὶν Viteb. Guelf. φιλόχορος] φιλόχωρος Mosqu.

v. 447. ποντίας] ποντιὰς Mosqu.

v. 450. κτείνοιεν] κτείνεια Ald. mendo typogr. pro κτείνειαν. — εὐχείρωτον] εὐχείρως τὸν Mosqu.

v. 451. ἐναλίων] Sic Brunck. e Reg. A. Perperam vulgo εἰναλίων.

v. 452. ὡς γὰρ θεὸς] ὡς γὰρ ὁ θεὸς Mosqu.

v. 453. Ἕλλησιν] Ἕλλησι Mosqu. Ald.

v. 454. εὐχάλκοις] εὐχάλκοιο Mosqu.

v. 455. ἀμφὶ δὲ κυκλοῦντο] ἀμφὶ δ' ἐκυκλοῦντο Vit. Mosqu. Reg. B. ubi superscriptum ἀμφὶ δὲ.

v. 457. ἐκ χερῶν] ἐκ χειρῶν Ald.

v. 458. πέτρησιν] πέτροισιν Schol. item Mosqu. Vit. ἠράσσοντο] ἠράσσαντο Ald. Rob. Turn. ἠράσαντο Mosqu. τοξικῆς τ'] τοξικῆς δ' Ald. Turn.

Θώμιγγος ἰοῖ προσπίτνοντες ὤλλυσαν·
Τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
Παίουσι, κρεωκοποῦσι δυστήνων μέλη,
Ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος.
Ἕδραν γὰρ εἶχε παντὸς εὐαυγῆ στρατοῦ,
Ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
Ῥήξας δὲ πέπλους, κἀνακωκύσας λιγύ,
Πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
Ἧιξ', ἀκόσμῳ ξὺν φυγῇ. Τοιάνδε σοὶ
Πρὸς τῇ πάροιθε συμφορὰν πάρα στένειν.

ΑΤΟΣΣΑ.

Ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
Κλεινῶν Ἀθηνῶν εὗρε, κοὐκ ἀπήρκεσαν,

VARIETAS LECTIONIS.

v. 459. προσπίτνοντες] προσπίπτοντες Ald. Turn. Vict. προσπίτνοντες metri caussa reposuit Brunckius. ὤλλυσαν] ὤλυσαν Mosqu.

v. 463. κακῶν omissum Mosqu. βάθος] πάθος Vit.

v. 464. εὐαυγῆ] εὐαγῆ. Sic Regg. A. et B. edd. et codd. adhuc collati omnes. εὐαυγῆ est e certissima emendatione Hemsterhusii.

v. 465. πελαγίας] πελασγίας Vict. ἁλὸς] alii χθονὸς, testante Stephano.

v. 468. ἧιξ'] ἧσσ' cod. Reg. B. ἧσσ' Rob. Pierson ad Moerin p. 301., quia ἀΐσσω s. ᾄσσω aut ᾄττω semper apud Atticos dissyllabum sit, corrigendum opinatur ἔπτηξ' vel ἀπῆξ'. ἀκόσμῳ ξὺν] ἀκόσμως σὺν Mosqu.

v. 469. πάροιθε] πάροιθεν Ald. Rob. Mosqu. Vit. συμφορὰν] συμφορᾷ Mosqu. Vit.

v. 470. δαῖμον] δαίμων Mosqu.

v. 472. ἀπήρκεσαν] ἐπήρκεσαν Vit.

Οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν,
Ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν
Τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.
Σὺ δ' εἰπὲ ναῶν αἳ πεφεύγασιν μόρον,
Ποῦ τάςδε γ' ἔλιπες· οἶσθα σημῆναι τορῶς;

ΑΓΓΕΛΟΣ.

Ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην
Κατ' οὖρον οὐκ εὔκοσμον αἱροῦνται φυγήν.
Στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
Διώλλυθ', οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος
Δίψει πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
Διεκπερῶμεν ἔς τε Φωκέων χθόνα
Καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
Κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιΐδος πέδον
Καὶ Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους
Βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι 'θανον

Δίψει

VARIETAS LECTIONIS.

v. 473. ἀπώλεσεν] ἀπώλεσε Moſqu.

v. 474. 475. deſunt Moſqu.

v. 475. τοσόνδε] τασῶνδε Vit.

v. 476. ναῶν αἳ πεφεύγασιν] νεῶν αἳ πεφεύγασι Ald.

v. 477. ποῦ τάςδε γ' ἔλιπες] ποῦ τάςδ' ἔλιπες Ald. Turn. ποῦ τάςδ' ἔλειπες edd. cett. ante Brunck.

v. 478. ναῶν γε] Sic reſcripſimus e Robortell. ναῶν δὲ Ald.

v. 482. ὑπ' ἄσθματος] ὑπ' ἄσματος Moſqu. At Stanl. conjectura emendabat ὑφάσματος.

v. 488. ἐδέξαντ'] ἐδέξατ' Viteb. quod praefert Zeunius. πλεῖστοι 'θανον] vulg. πλεῖστοι θάνον. In Ald. πλεῖστ' ἔθανον. In Reg. B. ſcriptum πλεῖστοι 'θάνον cum apoſtropho eliſionem

Δίψει τε λιμῷ τ᾽· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν, ἔς τε Μακεδόνων
Χώραν ἀφικόμεσθ᾽ ἐπ᾽ Ἀξίου πόρον,
Βόλβης θ᾽ ἕλειον δόνακα, Παγγαῖόν τ᾽ ὄρος,
Ἠδωνίδ᾽ αἶαν. Νυκτὶ δ᾽ ἐν ταύτῃ θεὸς
Χειμῶν᾽ ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
Ῥέεθρον ἁγνοῦ Στρυμόνος. Θεοὺς δέ τις
Τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ᾽ ηὔχετο
Λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
Ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
Στρατός, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
Χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
Ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
Φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
Μέσον πόρον διῆκε, θερμαίνων φλογί·
Πίπτον δ᾽ ἐπ᾽ ἀλλήλοισιν. Εὐτυχὴς δέ τοι

VARIETAS LECTIONIS.

augmenti indicante. Unde Brunckius, accentu rectius posito, dedit πλεῖστοι θάνον.

v. 489. δίψει] Sic Brunck. e Regg. δίψῃ vulg. λιμῷ τ᾽ ἀμφότερα] λιμῷ γε τ᾽ ἀμφότερα Guelf.

v. 490. ἔς τε] ἠδὲ Rob.

v. 491. ἀφικόμεσθ᾽] ἀφικόμεθ᾽ Mosqu. Rob.

v. 492. Παγγαῖον] Παγκαῖον Vit.

v. 494. πήγνυσιν] πήγνυσι Turn. Sic et Mosqu. omiss[illegible] so δὲ.

v. 495. ἁγνοῦ Στρυ[illegible] Στρυμόνος ἁγνοῦ Ald. Rob.

v. 496. τότ᾽ ηὔχετο] τότ᾽ εὔχετο Viteb. Ald. Rob.

v. 499. διὰ πόρον] Canterus malebat διάπορον.

v. 501. σεσωσμένος] σεσωσμένου Ald.

v. 504. Πίπτον δ᾽] Sic Ald. ῎πιπτον δ᾽ Brunck. ἔπιτνον Porson. dedit. ἐπ᾽ ἀλλήλοισιν] ἐν ἀλλήλοισι codd.

Ὅστις τάχιστα πνεῦμ' ἀπέῤῥηξεν βίον.
Ὅσοι δὲ λοιποί, κἄτυχον σωτηρίας,
Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ
Ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
Ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
Ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
Κακῶν, ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.

ΧΟΡΟΣ.

Ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
Ποδοῖν ἐνήλου παντὶ Περσικῷ γένει.

ΑΤΟΣΣΑ.

Οἲ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
Ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων
Ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
Ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
Ὅμως δ' ἐπειδὴ τῆδ' ἐκύρωσεν φάτις
Ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
Ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα

Ἥξω

VARIETAS LECTIONIS.

Mosqu. Vit. εὐτυχὴς] Varia lectio, notante Brunckio, εὐτυχεῖ.

v. 505. ἀπέῤῥηξεν] ἀπέῤῥηξε Mosqu. Ald.

v. 511. ταῦτ' ἔστ' ἀληθῆ Hermann. ad Euripidis Hec. p. 131. conjicit ταῦτ' ἐστὶ ταῦτα.

v. 512. ἐγκατέσκηψεν] ἐγκατέσκηψε Mosqu. Rob. Turn.

v. 514. ἐνήλου] ἐνήλλου Vit. Mosqu. Ald. Turn.

v. 516. ἐμφανὴς] ἐκφανὴς Mosqu.

v. 518. αὔτ'] ταῦτ' Mosqu. Vit.

v. 519. ἐκύρωσεν] ἐκύρωσε Mosqu. Ald. Turn.

Ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν.
Ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
Ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
Ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις
Πιστοῖσι πιστὰ συμφέρειν βουλεύματα·
Καὶ παῖδ', ἐάν περ δεῦρ', ἐμοῦ πρόσθεν, μόλῃ,
Παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
Μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν.

ΧΟΡΟΣ.

Ἀλλ', ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν
Τῶν μεγαλαύχων καὶ πολυάνδρων

VARIETAS LECTIONIS.

v. 522. ἥξω] ἄξω Guelf.

v. 523. ἐπ' ἐξειργασμένοις] ἐπεξειργασμένως Ald. ἐπεξειργασμένας Rob.

v. 524. λῷον] Schol. ut obſervat Stephanus, legiſſe videtur ζῷον. πέλοι] πέλει Ald.

v. 525. χρὴ 'πὶ τοῖσδε] χρὴ 'πὶ δὲ τοῖς Ald.

v. 526. πιστοῖσι πιστὰ] πιστοῖς τὰ πιστὰ Ald. πιστοῖς γε πιστὰ Rob. Turn. Victor. γε abeſt Moſqu. Vit. πιστοῖσι πιστὰ dedit Brunck. e Regg. συμφέρειν] ξυμφέρειν Rob. Vict.

v. 527. καὶ παῖδ'] καὶ παῖς δ' Moſqu. ἐάν περ] ἐὰν Moſqu.

v. 528. παρηγορεῖτε καὶ προπέμπετ'] παρηγορῆτε· καὶ προπέμπητ' Ald. Rob.

v. 529. μὴ καί τι] μηκέτι Moſqu. Vit. μὴ κ' ἔτι Ald. μηδ' ἔτι Rob. πρόσθηται] πρόσθητε Guelf. Vit. Moſqu. Rob. προστεθῇ conj. Pauw. praeter neceſſitatem.

v. 530. ἀλλ'] abeſt Ald. Rob. Regg. Guelf. Moſqu.

Στρατιὰν ὀλέσας,
Ἄστυ τὸ Σούσων ἠδ' Ἀγβατάνων
Πένθει δνοφερῷ κατέκρυψας.
Πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
Κατερεικόμεναι, διαμυδαλέοις
Δάκρυσι κόλπους
Τέγγουσ', ἄλγους μετέχουσαι.
Αἱ δ' ἁβρογόοι Περσίδες, ἀνδρῶν
Ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
Λέκτρων τ' εὐνὰς ἁβροχίτωνας,
Χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
Πενθοῦσι γόοις ἀκορεστοτάτοις.
Κἀγὼ δὲ μόρον τῶν οἰχομένων
Αἴρω δοκίμως πολυπενθῆ.

Νῦν

VARIETAS LECTIONIS.

Vit. Sed recte addidit Turnebus, etſi non conſtat, unde. Nam et ſententiam melius inchoat, et metro ſtabiliendo conducit. Anapaeſticum enim ſyſtema, ut bene monet Brunckius, non inchoat paroemiacus.

v. 533. τὸ Σούσων] τοσούτων Vit. Ἀγβατάνων] Ἐκβατάνων Guelf. Rob. Turn.

v. 534. δνοφερῷ] στυγερῷ Ald. Turn. Vict. In Reg. B. στυγερῷ et ſupra γρ. δνοφερῷ αἰολικῶς. Quod poſtremum quo referatur, negat ſe videre Brunckius, niſi olim ſcriptum fuerit γνοφερῷ. Et ſane hic ibi apud Aeſchylum formae verborum occurrunt Aeolicae.

v. 535. ἁπαλαῖς] ἀταλαῖς Rob.

v. 540. ἀρτιζυγίαν] ἀρτι συζυγίαν Ald. Rob. ἀρτισυζυγίαν Schol. ἀρτιζυγίην Vit. Totus verſus ſic legitur in Moſqu. ποθέουσι δείνων ἀρτιζυγίαν.

v. 541. λέκτρων] λέκτρων τ' Ald.

στροφὴ α΄. Νῦν γὰρ πρόπασα μὲν στένει
Γαῖ᾽ Ἀσιὰς ἐκκενουμένα.
Ξέρξης γὰρ ἤγαγεν, ποποῖ,
Ξέρξης δ᾽ ἀπώλεσεν, τοτοῖ,
Ξέρξης δὲ πάντ᾽ ἐπέσπε δυςφρόνως
Βαρίδεσσί ποντίαις.
Τί ποτε Δαρεῖος μὲν οὔ-
πω τότ᾽ ἀβλαβὴς ἐπῆν
Τοξάρχης πολιήταις,
Σουσίδος φίλος ἄκτωρ;

ἀντιστρ. α΄. Πεζούς τε γὰρ θαλασσίους θ᾽
Ὁμόπτεροι κυανώπιδες

Νᾶες

VARIETAS LECTIONIS.

v. 546. νῦν γὰρ] νῦν γὰρ δὴ Ald. Vict.

v. 547. Ἀσιὰς] Ἀσίας Ald. Vict. Illud jam Steph. praeferendum censebat, aut γαῖ Ἀσία legendum.

v. 548. γὰρ ἤγαγεν] μὲν γὰρ ἔγαγε (vitio typogr. pro ἤγαγε) Ald. μὲν γὰρ ἤγαγε Guelf. Turn. Vict.

v. 549. ἀπώλεσεν] ἀπώλεσε Ald. Turn.

v. 551. βαρίδεσσι] βαρύδεσι Viteb.

v. 552. μὲν abest Viteb.

v. 552. 553. τί ποτε Δαρεῖος μὲν οὔπω τότ᾽ ἀβλαβὴς] οὐτίποτε Δαρεῖος μὲν τότ᾽ ἐβλάβη Rob. τίποτε Δ. μὲν οὕτω τότ᾽ ἀβλαβὴς Guelf. Turn. Vict.

v. 554. τοξάρχης πολιήταις] τόξαρχος πολίταις Rob. Turn. τόξαρχος πολιήταις Vict. τοξάρχης edidit Brunckius e Regg. forma magis poetica.

v. 555. Σουσίδος] Σουσίδαις al. teste Steph.

v. 556. γὰρ θαλασσίους θ᾽] καὶ θαλασσίους Guelf. Ald. Vict. γὰρ καὶ θαλασσίους Rob.

v. 557. ὁμόπτεροι] αἱ δ᾽ ὁμόπτεροι Ald. Rob. Turn. Vict. Nos vero v. 556. et

Νᾶες μὲν ἄγαγον, ποποῖ,
Νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
Νᾶες πανωλεθρίοισιν ἐμβολαῖς.
Διὰ δ' Ἰαόνων χέρας,
Τυτθὰ γ' ἐκφυγεῖν ἄνακτ'
Αὐτὸν ὡς ἀκούομεν
Θρήκης ἀμπεδιήρεις
Δυςχείμους τε κελεύθους.
στροφὴ β'. Τοὶ δ' ἄρα πρωτόμοροι δὴ, φεῦ,
Ληφθέντες πρὸς ἀνάγκαν, ἠέ,
Ἀκτὰς ἀμφὶ Κυχρείας, ὀᾶ

— — — — —

Στένε καὶ δακνάζου,

Βαρὺ

VARIETAS LECTIONIS.

557. ad Brunckii emendationem, metro perbene consulentem expressimus.

v. 560. πανωλεθρίοισιν] πανωλεθρίῃσιν Ald. πανωλέθροισιν Rob. Viteb.

v. 562. τυτθά γ'] τυτθὰ δ' Guelf. Rob. Turn. Vict. Pro τυτθὰ δ' ἐκφυγεῖν Canterus conjiciebat τυτθὰ διεκφυγεῖν.

v. 563. αὐτὸν] αὐτῶν Viteb. Ald. Rob. Turn. etc. αὐτὸν dedit Brunck. e Regg. ὡς] Ita scribendum recte monuit Heathius, ut ὡς sit i. q. οὕτως. Vulg. ὡς.

v. 564. ἀμπεδιήρεις] ἀναπεδιήρεις Rob.

v. 565. δυςχείμους] δυςχειμέρους Ald. Rob. Vict. etc. Heathius metri causa correxit δυςχείμους, quem cum Brunckio sequimur.

v. 566. δὴ Heathio auctore inseruimus ob metrum.

v. 567. ληφθέντες] λειφθέντες Rob. ἀνάγκαν] ἀνάγκην Turn.

v. 568. Κυχρείας] κυπρίας Rob. κυχρείας Turn. Brunck. ἀμφικέχρειας sic Mosqu. Κυγχρείας Guelf. Κεγρείας Vit. Κεγχρείας Ald. Vict.

Βαρὺ δ' ἀμβόασον
Οὐράνι' ἄχη, ὀά,
Τεῖνε δὲ δυσβάϋκτον
Βοᾶτιν τάλαιναν αὐδάν.
ἀντιστρ. β'. Γναπτόμενοι δ' ἁλὶ δεινᾷ, φεῦ,
Σκύλλονται πρὸς ἀναύδων, ἠέ,
Παίδων τᾶς ἀμιάντου, ὀά.
Πενθεῖ δ' ἀνδρα δόμος στερηθείς·
Τοκῆες δ' ἄπαιδες
Δάκρυσιν ἔῤῥανται,
Δαιμόνι' ἄχη, ὀά,
Δυρόμενοι γέροντες·
Τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
στροφὴ γ'. Τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν
Οὐκ ἔτι περσονομοῦνται,
Οὐκ ἔτι δασμοφοροῦσι

Δεσπο-

VARIETAS LECTIONIS.

v. 570. ἀμβόασον] ἀμβόησον Ald. Turn.

v. 573. βοᾶτιν] βοᾷ τὴν Viteb.

v. 574. γναπτόμενοι δ' ἁλὶ δεινᾷ] γναμπτόμενοι ἁλὶ δεινὰ φεῦ Ald. γναμπτόμενοι δ' ἁλὶ δεινᾷ φεῦ Guelf. Vict. γναπτόμενοι scribendum esse evicit Dorvillius Miscell. obss. Vol. IX. p. 120. φεῦ omisit Brunck.

v. 575. ἀναύδων] αὐδᾶν Mosqu. ἠὲ ἠὲ Guelf.

v. 579. δάκρυσιν ἔῤῥανται] Abest δάκρυσιν Viteb. Ald. Rob. ἔῤῥανται ἐν δάκρυσι Turn. Vict. Alios omittere verbum ἔῤῥανται, alios utrumque, auctor est Steph.

v. 581. δυρόμενοι] sic Brunck. et Porson. Vulg. ὀδυρόμενοι.

v. 582. κλύουσιν] κλύουσ' Rob.

v. 585. οὐκ ἔτι] οὐδ' ἔτι Viteb. quod probat Zeunius. Idem est in Guelf.

Δεσποσύνησιν ἀνάγκαις,
Οὐδ' ἐς γᾶν προπίτνοντες
Ἄρξονται. Βασίλεια
Γὰρ διόλωλεν ἰσχύς·
ἀντιστρ. γ'. Οὐδ' ἔτι γλῶσσα βροτοῖσιν
Ἐν φυλακαῖς. λέλυται γὰρ
Λαὸς ἐλεύθερα βάζειν,
Ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.
Αἱμαχθεῖσα δ' ἄρουρα
Αἴαντος περικλύστα
Νᾶσος ἔχει τὰ Περσᾶν.

ΑΤΟΣΣΑ. ΧΟΡΟΣ.

ΑΤΟΣΣΑ.

Φίλοι, κακῶν μὲν ὅστις ἔμπορος κυρεῖ,
Ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων

Κακῶν

VARIETAS LECTIONIS.

v. 586. δεσποσύνησιν] δεσποσύνοισιν Guelf.

v. 587. προπίτνοντες] προσπίτνοντες Ald. προσπίτνοντα Rob. προσπίπτοντες Guelf. γαῖαν προσπιτνῶντες Viteb. προπίτνοντες conj. Stanl. quod poscente metro cum Brunckio recepimus.

v. 590. οὐδ' ἔτι] οὐδέ τι Rob. οὐκ ἔτι Viteb.

v. 592. ἐλεύθερα] ἐλεύθερον Vit.

v. 596. Περσῶν] additur σώματα Rob.

v. 597. ἔμπορος] Sic Regg. Mosqu. Ald. Turn. Vict. ἔμπειρος Guelf. Rob.

v. 598. ἐπίσταται] Scholiastes in Cod. Guelf. testatur olim in quibusdam MSS. lectum ἐπίστασο.

Κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
Ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι
Τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης.
Ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα·
Ἐν ὄμμασίν τ' ἀνταῖα φαίνεται θεῶν·
Βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος.
Τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
Τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων,
Χλιδῆς τε τῆς πάροιθεν, ἐκ δόμων πάλιν
Ἔστειλα, πατρὶ παιδὸς εὐμενεῖς χοὰς
Φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια·
Βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
Τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
Λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα,

Ἀκήρα-

VARIETAS LECTIONIS.

v. 600. εὐροῇ] οὐρίσῃ emendandum censet Lennep ad Phalar. p. 86.

v. 603. τ' ἀνταῖα] τἀνταῖα vulgo scribebatur. Scripturam τ' ἀνταῖα praeferendam duxit Stanl.

v. 606. ἄνευ τ' ὀχημάτων] Recepi lectionem Guelf. Mosqu. Vit. Regg. pro vulg. ἄνευ ὀχημάτων, cujus hiatum Brunckius ita vitabat, ut rescriberet ὀχημάτων τ' ἄνευ, quod ei concinnius videbatur. ἄνευθ' ὀχημάτων conj. Pauwius. ἄνευ γ' ὀχημάτων Heath.

v. 608. ἔστειλα] ἐστειλάμην Rob. al. ἐστείλατο, et ἔστειλα τῷ, teste Steph. πατρὶ παιδὸς] τῷ παιδὸς πατρὶ Ald. Turn. παιδὸς πατρὶ Rob. Vict. Cant. ἔστειλα παιδὸς omissa Mosqu. Vit. πατρὶ παιδὸς dedit Brunck. e Reg. A. εὐμενεῖς] Sic Brunck. e Reg. A, πρευμενεῖς Ald. Rob. etc.

v. 609. μειλικτήρια abest Mosqu. Vit.

v. 610. λευκὸν] λευκῆς Schol. marg. Cod. Guelf.

v. 611. ἀνθεμουργοῦ] ἀνθεαμουργοῦ Ald.

Ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
Ποτόν, παλαιᾶς ἀμπέλου γάνος τόδε,
Τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
Ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
Ἄνθη τε πλεκτά, παμφόρου γαίας τέκνα.
Ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
Ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ' ἐγὼ
Τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

ΧΟΡΟΣ.

Βασίλεια, γύναι, πρέσβος Πέρσαις,
Σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς,
Ἡμεῖς θ' ὕμνοις αἰτησόμεθα
Φθιμένων πομποὺς
Εὔφρονας εἶναι κατὰ γαίας.
Ἀλλὰ χθόνιοι δαίμονες ἁγνοί,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,

Πέμ-

VARIETAS LECTIONIS.

v. 615. φύλλοισι] φίλοισι Ald.

v. 617. abest Mosqu. In Vit. desunt γαίας τέκνα — νερτέρων.

v. 619. ἐπευφημεῖτε] ἐπευφημεῖσθε Ald. τόν τε] τόν δε Mosqu. Vit. Ald.

v. 620. γαπότους] γαπόνους Mosq. γ' ἀτόπους Vit.

v. 622. πρέσβος] πρέσβυσα Guelf. πρέσβις Mosqu. Vit. πρέσβα Rob. πρέσβυς Turn.

v. 623. σύ τε] σύ γε conj. Pauw.

v. 624. ἡμεῖς θ'] ἡμεῖς δ' Turn.

v. 626. κατὰ γαίας] κατὰ γαῖαν Regg. Ald. Rob. Turn. κατὰ γαίας Vict. Cant.

v. 628. βασιλεῦ τ' ἐνέρων] βασιλεῦ τε νερτέρων Guelf. Mosqu. Rob.

Πέμψατ' ἔνερθε ψυχὴν ἐς φάος·
Εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον,
Μόνος ἂν θνητῶν πέρας εἴποι.

στροφὴ α'. Ἦ ῥ' ἀΐει μου μακαρί-
τας ἰσοδαίμων βασιλεὺς
Βάρβαρα σαφηνῆ
Ἱέντος τὰ παναίολ' αἰ-
ανῆ δύσθροα βάγματα;
Παντάλαν' ἄχη διαβοάσω.
Νέρθεν ἆρα κλύει μου;

ἀντιστρ. α'. Ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλ-
λοι χθονίων ἁγεμόνες

Δαί-

VARIETAS LECTIONIS.

v. 629. ἔνερθε ψυχὴν] Sic Reg. B. ἔνερθεν ψυχὴν Reg. A. Guelf. ἔνερθεν ψυχὰν Ald. Rob. Turn. etc. φάος] φῶς Mosqu.

v. 630. εἰ γάρ τι κακῶν absunt Mosqu. εἰ γάρ τε Rob. Pro ἄκος Pauwius corrigebat ἄχος, quod etsi schol. quoque legisse videtur, vulgatum tamen servandum.

v. 631. πέρας] Sic Rob. etc. Idem (superscripto Πέρσαις) Guelf. et Reg. B. In textu vero Πέρσαις Reg. A, Ox. Ald. εἴποι] εἴπῃ Ald. εἴπῃ Turn.

v. 634. Βάρβαρα σαφηνῆ] Βάρβαρά τε σαφηνῆ Rob.

v. 635. Sic Brunckius versum digessit, ad modum antithetici, cod. A. auctoritate usus. Optime. ἱέντος] ἰέντος Ald.

v. 636. βάγματα] βάσματα Mosqu.

v. 637. παντάλαν'] παντάλαιν' Ald. παντάλανά τ' Rob. ἄχη] ἄχθη Vit. διαβοάσω] διαβᾶς Mosqu. διαβοάω corrigit Pauw.

v. 638. ἆρα — μου] ἄρα μου Ald. Rob.

v. 639. ἀλλὰ σύ μοι γᾶ] ἀλλὰ σὺ γᾶ Rob.

v. 640. ἁγεμόνες abest. Ox. Ald. ἡγεμόνες Mosqu.

Δαίμονα μεγαυχῆ
Ἰόντ' αἰνέσατ' ἐκ δόμων,
Περσᾶν Σουσιγενῆ θεόν·
Πέμπετε δ' ἄνω, οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.
στροφὴ β'. Ἦ φίλος ἀνήρ, ἦ φίλος ὄχθος·
Φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς ἀν-
είης, Ἀϊδωνεύς,
Ἄκακον θεῖον ἄνακτα Δαρεῖον, ἠέ.

Οὔτε

VARIETAS LECTIONIS.

v. 641. δαίμονα] δαίμονες Rob. μεγαυχῆ] Hoc Brunckius, flagitante metro recepit e Reg. A. μεγαλαυχῆ Reg. B. Ald. Rob. Turn. etc. μεγαλαρχῆ superscripto scholio μεγαλοδύναμον Guelf. Etiam in Reg. A. notatur: γρ. μεγαλαρχῆ.

v. 643. Περσᾶν] Περσᾶν ῶν sic Mosqu.

v. 644. πέμπετε δ' ἄνω] πέμπετ' ἄνω Rob. οἷον οὔπερ Guelf.

v. 645. αἶ'] αἶα Mosqu.

v. 645. sq. ἐκάλυψεν — ὄχθος] ἐκάλυψεν φίλος, ἦ φίλος ἀνήρ, ἦ φίλος ὄχθος τάφου Ox. Ald. Turn. ubi τάφου est e glossa.

v. 647. φίλα] φίλια Mosq. Viteb.

v. 648. ἀναπομπὸς] ἀναπομπτὸς ex correctione Mosqu.

v. 649. ἀνείης Ἀϊδωνεὺς] ἀνίη Ἀϊδωνεῦ Guelf. ἀνίη Ἀϊδωνεὺς Mosqu. Vit. ἀνίη omisso Ἀϊδωνεὺς Ald. Rob. ἀνίει omisso Ἀϊδωνεὺς Turn. Vict. etc. In Reg. A. legitur ἀνίει Ἀϊδωνεύς, cum glossa εἴθε ἀναπέμποις, quam Brunckius recte judicavit ad lectionem ἀνείης referri. Praeterea notatur varia lectio: γρ. ἂν εἴη. In Reg. B. est ἀνίη omisso Ἀϊδωνεύς. Optime igitur ἀνείης emendavit Brunckius, quem imitati sumus.

v. 650. Ἄκακον θεῖον ἄνακτα Δαρεῖον, ἠέ.] Vulgo legebatur in omnibus Δαρεῖον,

ἀντιστρ. β΄. Οὔτε γὰρ ἄνδρας πώποτ' ἀπώλλυ
Πολεμοφθόροισιν αταις,
Θεομήστωρ τ' ἐκικλήσκετο
Πέρσαις, θεομήστωρ δ'
Ἔσκεν, ἐπεὶ στρατὸν εὖ ἐποδώκει. ἠέ.

στροφὴ γ΄. Βαλὴν, ἀρχαῖος βαλὴν, ἴθι, ἵκου,
Ἐλθ' ἐπ' ἄκρον κόρυμ-
βον ὄχθου, κροκόβαπτον
Ποδὸς εὔμαριν ἀείρων,
Βασιλείου τιάρας

VARIETAS LECTIONIS.

οἷον ἄνακτα Δαρεάν, ἠέ. nisi quod in scholiis codd. Regg. notatur lectio οἶον, i. e. μόνον. Manifestam, quae huic lectioni inest, corruptelam metri quoque perversitas arguit. Recte autem Brunckius intellexit, desiderari versum anapaesticum dimetrum, vel dactylicum tetrametrum. Illum igitur effecimus ita rescribendo:

Ἄκακον θεῖον ἄνακτα Δαρεῖον. ἠέ.

ἠέ enim est extra versum. Ceterum a sententia veritatem emendationis nostrae adstruximus in Commentario ad h. l.

v. 651. πώποτ'] πότ' Guelf. Rob.

v. 652. πολεμοφθόροισιν] πολεμοφέροισιν Mosqu. ἄταις omissum Mosqu.

v. 655. ἐποδώκει] Iure damnavit Brunckius Fabri commentum, Heathio quoque probatum, ἐπόδοχει, cum ἐποδώκει (quod in cod. Reg. B. exp. ὠδήγει) sit forma Ionica pro ἐφοδώκει ab ἐφοδόν.

v. 656. βαλὴν ἀρχαῖος βαλὴν] βαλλὴν ἀρχαῖος βαλλὴν Guelf. Rob. Turn. βαλὴν omisso ἀρχαῖος Mosqu.

v. 657. κόρυμβον] κόρυβον Mosqu. Vit.

v. 658. ὄχθου] ὄχθον Guelf.

v. 660. τιάρας] τιήρας Guelf. Vit.

Φάλαρον πιφαύσκων
Βάσκε πάτερ ἄκακε Δαρεῖ', ἀνεῖ,
ἀντιστρ. γ'. Ὅπως καινά τε κλύης νέα τ' ἄχη·
Δέσποτα δεσπότου,
Φάνηθι. Στυγία γάρ
Τις ἐπ' ἀχλὺς πεπόταται.
Νεολαία γὰρ ἤδη
Κατὰ πᾶσ' ὄλωλε.
Βάσκε πάτερ ἄκακε Δαρεῖ', ἀνεῖ.
ἐπῳδός. Αἶ αἶ αἶ αἶ,
Ὦ πολύκλαυτε φίλοισι θανών·

Τί

VARIETAS LECTIONIS.

v. 661. πιφαύσκων] πιφάσκων Mosqu. Turn. Abreschius conj. leg. πιφαΰσκων, vel ἐπιφαύσκων.

v. 662. πάτερ] περῶν codd. Mosqu. Rob. πατὴρ Turn. Δαρεῖ' ἀνεῖ] Vulgo in omnibus legebatur hic et in antithetico v. 669. Δαρειάν, οἶ. quod Heathius ita emendare conabatur: Δαρεῖ' ἄν' οἶ; ut ἄν' esset ab ἄνα pro ἀνάστηθι. At haec apocope duriuscula est, et obscuritatem parit. Verissimum igitur puto, sic rescribere: Δαρεῖ' ἀνεῖ, *Darie redi*, s. *exsurge*.

v. 663. ἄχη] ἄχθη Guelf. Pauwius legendum esse suspicatur ὅπως γ' αἰνά τε κλύης Νέα τ' ἄχη.

v. 666. τις ἐπ' ἀχλὺς] ἐπ' ἀχλὺς τὶς Ald. τὶς ἐπ' ἀχλὺς Guelf. τὶς ἔστ' ἀχλὺς Mosqu. ἔτ' ἀχλὺς τὶς Rob. ἐπ' ἀχλὺς τις Turn.

v. 667. νεολαία] νεολέα Guelf. νεολλαῖς Mosqu.

v. 668. κατὰ πᾶσ'] κατὰ γῆς Guelf. ὄλωλε] Sic Reg. A. Vit. ὤλολε Mosqu. ἀπόλωλε, quod metrum respuit, Reg. B.

v. 669. πάτερ] περῶν cod. Mosqu. Rob. πατὴρ Turn. Δαρεῖ' ἀνεῖ] Vulgo Δαρειὰν οἶ. cf. v. 662. Δαρεῖ' οἶ Mosqu.

Τί τάδε, δυνάστα, δυνάστα,
Περὶ τᾶ σᾶ δίδυμα
Διάνοιεν ἁμάρτια

VARIETAS LECTIONIS.

v. 672. δυνάστα, δυνάστα] Sic Reg. B. At Reg. A. semel, tantum δυνάστα. In Vit. scriptum est δυνάτα δυνάστα. In Vict. δυνάτα δυνάτα,

v. 673. τᾶ γᾶ] τᾶ σᾶ γᾶ Turn. abest σᾶ Vit. Ox. Rob. δίδυμα] περὶ δίδυμα Rob.

v. 674. διάνοιεν] διάνοιεν δ' Ald. Turn. διάγοιεν δ' Guelf. διάγοιε Mosqu. διάγοιεν. Sed Brunckius V. C. multiplex, inquit, his versibus menda subest. Διάνοιεν tertia pluralis est pendens a nominativo τὰ ἁμάρτια. At Graecis, ut reor, incognita est vox τὸ ἁμάρτιον pro ἡ ἁμαρτία. Praeterea cum verbo requiritur particula ἂν, ut elici possit sensus, quem latina versio exhibet: *quare hae circa tuam geminae grassarentur labes totam terram tuam hanc?* cui non aliter Graeca respondebunt, quam si sic scribantur:

περὶ τᾶ σᾶ διδύμα
διάνοι' ἂν ἁμαρτία
πᾶσα γᾶ τᾶδ'.

Postremus versiculus sic scriptus in B. In A. τᾶδε, omisso in utroque σᾶ, quod a Turnebo in impressis male insertum. Non dissimulabo tamen, ne sic quidem usquequaque sanam mihi videri istam lectionem; non intelligo, quid sibi velint senes, quaerendo: τί τάδε (κακὰ) διάνοι' ἂν περὶ πᾶσα τᾶ σᾶ γᾶ τᾶδε διδύμα ἁμαρτία, *cur inauspicato suscepta gemina expeditio tuo imperio haec mala perficeret,* tanquam de re incerta et dubia loquentes, quod et praecedentibus et sequentibus adversatur. Omnino dicere debuerunt: *cur tot mala perfecit temere suscepta gemina expeditio?* Scribendus itaque videtur medius versiculus, διάνυσεν ἁμαρτία. Hactenus ille. Sed cf. Commentar. nostrum ad h. l.

Πάσα γᾶ τᾶδ';
Ἐξέφθινθ' αἱ τρίσκαλμοι
Νᾶες, ἄναες νᾶες.

ΔΑΡΕΙΟΣ. ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΔΑΡΕΙΟΣ.

Ὦ πιστὰ πιστῶν, ἥλικές θ' ἥβης ἐμῆς,
Πέρσαι γεραιοί, τίνα πόλις πονεῖ πόνον;
Στένει, κέκοπται, καὶ χαράσσεται πέδον.
Λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας
Ταρβῶ, χοὰς δὲ πρευμενεῖς ἐδεξάμην.
Ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου,
Καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις,
Οἰκτρῶς καλεῖτέ μ'. ἔστι δ' οὐκ εὐέξοδον

Ἄλ-

VARIETAS LECTIONIS.

ἁμαρτίαι] Schol. testatur in quibusdam Codd. fuisse ἁμαρτήματα.

v. 675. τᾶδ'] τᾶδε Ald. γᾶ τᾶδε Guelf. πάσα γᾶ σᾶ τάδε Turn.

v. 677. ἄναες νᾶες] Sic Reg. A. B. Ox. Rob. ἄναες ἄναες Ald. Turn.

v. 679. γεραιοὶ] γηραιοὶ Ald.

v. 681. τάφου πέλας] Sic Regg. Vit. πέλας τάφου Ald. Rob. Turn. etc.

v. 682. πρευμενεῖς] πρευμενὴς Guelf. Rob.

v. 684. ὀρθιάζοντες] ῥοδιάζοντες Guelf. Mosqu. Vit. Ald. Turn. Vict.

v. 685. καλεῖτε] καλεῖσθε Mosqu. Vit. Ald. Rob. εὐέξοδον] εὐέδοξον Mosqu. mendose.

Ἄλλως τε πάντως, χ᾽ οἱ κατὰ χθονὸς θεοὶ
Λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
Ὅμως δ᾽ ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
Ἥκω· τάχυνα δ᾽, ὡς ἄμεμπτος ὦ χρόνου.
Τί δ᾽ ἔστι Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

ΧΟΡΟΣ.

Σέβομαι μὲν προσιδέσθαι,
Σέβομαι δ᾽ ἀντία λέξαι
Σέθεν, ἀρχαίῳ περὶ τάρβει.

ΔΑΡΕΙΟΣ.

Ἀλλ᾽ ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος,
Μή τι μακεστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
Εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθείς.

ΧΟΡΟΣ.

Δέομαι μὲν χαρίσασθαι,
Δέομαι δ᾽ ἀντία φάσθαι,
Λέξας δύσλεκτα φίλοισιν.

VARIETAS LECTIONIS.

v. 686. οἱ κατὰ χθονὸς] οἱ καταχθόνιοι Ald. ὅτι κατὰ χθονὸς conj. Arnald. probante Abreſchio.

v. 689. ἥκω· τάχυνα ὡς ἄμεμπτος ὦ] „Recta loquendi norma optativum flagitare videtur; optima phraſis eſſet, ſic legeretur: ἥκω ταχύνας, ὡς ἄμεμπτος ὦ χρόνου." Brunck. Heath. conj. ἥκω· ταχύναι.

v. 690. τί δ᾽ ἔστι], τί ἐστι Moſqu. Ald. Rob.

v. 692. ἀντία] ἀντίον cod. Moſqu.

v. 693. ἀρχαίῳ περὶ τάρβει] ἀρχαίῳ τάρβει Turn.

v. 694. πεπεισμένος] πεπεισμένοι Moſqu.

v. 695. μάκεστῆρα] κακιστῆρα Vit. in textu, illo ſuperſcripto. λέγων abeſt Guelf.

v. 697. 698. δέομαι] δείομαι codd. Regg. Ald. Rob. etc.

ΔΑΡΕΙΟΣ.

Ἀλλ' ἐπεὶ δέος παλαιόν σοι φρενῶν ἀνθίσταται
Τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι,
Κλαυμάτων λήξασα τῶνδε καὶ γόων, σαφές τι μοὶ
Λέξον. Ἀνθρώπεια δ' ἄν τοι πήματ' ἐντύχοι βροτοῖς.
Πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χερσοῦ κακὰ
Γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσω.

ΑΤΟΣΣΑ.

Ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ,
Ὃς θ', ἕως ἔλευσας αὐγὰς ἡλίου, ζηλωτὸς ὢν,
Βίοτον εὐαίωνα, Πέρσαις, ὡς θεὸς, διήγαγες.
Νῦν τέ σε ζηλῶ θανόντα πρὶν κακῶν ἰδεῖν βάθος.
Πάντα γὰρ, Δαρεῖ, ἀκούσει μῦθον ἐν βραχεῖ χρόνῳ.
Διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος.

ΔΑ-

VARIETAS LECTIONIS.

v. 700. ἀνθίσταται] ἀνθίσταμαι Guelf. Post ἀνθίσταται Mosqu. addit φανερὸν e glossa.

v. 701. γεραιὰ] γηραιὰ Ald. Rob. εὐγενὲς] εὐγενὴς Guelf.

v. 702. κλαυμάτων] κλαυσμάτων Vit.

v. 703. ἀνθρώπεια] ἄνεισα Guelf. e male intellecto scribendi compendio. ἐντύχοι] ἀντύχοι Ald. ἂν τύχοι Mosqu. ἂν τύχη Vit.

v. 705. βίοτος ἢν] Sic Vit. Reg. A. ἢ βίος Turn. βίος ἢν Reg. B. ἢν ταθῇ] ἢν παθῇ Ald. ἐνταθῇ Guelf.

v. 706. εὐτυχεῖ πότμῳ] εὐτυχῆ πότμον Mosqu. Ald.

v. 707. ὅς θ' ἕως] Sic Reg. A. ὅς ἕως Reg. B. (in quo superscriptum ὡς ἕως) Guelf. Ald. Turn. ἔλευσας] al. teste Steph. ἔλευσες. Stanl. conj. ἔλευσσες. αὐγὰς ἔλευσας edit. Bothius.

v. 709. βάθος]. βάρος Guelf.

v. 710. χρόνῳ] al. teste Steph. λόγῳ quod probat Wakefield.

v. 711. τὰ Περσῶν] τὰ τῶν Περσῶν Ald. ὡς εἰπεῖν ἔπος]

ΔΑΡΕΙΟΣ.

Τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτός, ἢ στάσις πόλει;

ΑΤΟΣΣΑ.

Οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατός.

ΔΑΡΕΙΟΣ.

Τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; Φράσον.

ΑΤΟΣΣΑ.

Θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλάκα.

ΔΑΡΕΙΟΣ.

Πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας;

ΑΤΟΣΣΑ.

Ἀμφότερα. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν.

ΔΑΡΕΙΟΣ.

Πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν;

VARIETAS LECTIONIS.

Sic Guelf. ὡς ἔπος εἰπεῖν Vit. Ald. ὡς ἔτος εἰπεῖν Rob.

v. 712. τρόπῳ] πρόσω Mosqu. mendose. ἦλθε] ἦλθεν id. πόλει] πόλεως id.

v. 713. οὐδαμῶς] οὐκ Rob. ἀμφ' Ἀθήνας] Sic Reg. Turn. ἀμφ' Ἀθήναις Ald. Rob. διέφθαρται στρατὸς] κατέφθαρται omisso στρατὸς Mosqu. κατέφθαρται habet quoque Viteb.

v. 716. ἢ ναύτης δὲ] ἢ ναύτης γε Guelf. ἢ ναύτης καὶ Viteb. ἐμώρανεν] ἐμώρανε Mosqu. Ald. Turn.

v. 717. μέτωπον] πρόσωπον superscripto μέτωπον tanquam glossemate Guelf. στρατευμάτοιν] Sic Regg. et Guelf. στρατευμάτων Rob. στρατηλάτων Ald. στρατηλάτοιν δυοῖν Mosqu. Vit.

v. 718. ἤνυσεν] ἤνυσε Guelf. Ald. Rob. Turn.

ΑΤΟΣΣΑ.

Μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥςτ' ἔχειν πόρον.

ΔΑΡΕΙΟΣ.

Καὶ τόδ' ἐξέπραξεν, ὥςτε Βόσπορον κλεῖσαι μέγαν;

ΑΤΟΣΣΑ.

Ὧδ' ἔχει· γνώμης δέ που τὶς δαιμόνων ξυνήψατο.

ΔΑΡΕΙΟΣ.

Φεῦ· μέγας τις ἦλθε δαίμων, ὥςτε μὴ φρονεῖν καλῶς.

ΑΤΟΣΣΑ.

Ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

ΔΑΡΕΙΟΣ.

Καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε;

ΑΤΟΣΣΑ.

Ναυτικὸς στρατὸς κακωθεὶς πέζον ὤλεσε στρατόν.

ΔΑΡΕΙΟΣ.

Ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;

ΑΤΟΣ-

VARIETAS LECTIONIS.

v. 721. γνώμης] Abreschius conj. γνώμης pro γνώμαις. ξυνήψατο] Sic Vit. Reg. A. συνήψατο Ald. Rob. Turn. etc.

v. 723. ἤνυσεν] Sic Guelf. ἤνυσε Mosqu. Ald. Rob. Turn.

v. 724. ἐπιστενάζετε] ἐπιστενάζετο Ald. Rob.

v. 725. στρατὸν omissum Mosqu.

v. 726. λαὸς πᾶς] πᾶς λαὸς Rob. πᾶς στρατὸς Turn. Vict. Illud contra rationem commatum Trochaicorum. Recte igitur Brunckius reposuit λαὸς πᾶς e Regg.

ΑΤΟΣΣΑ.

Πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει, . . .

ΔΑΡΕΙΟΣ.

Ὢ πόποι κενῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.

ΑΤΟΣΣΑ.

Βακτρίων δ' ἔῤῥει πανώλης δῆμος, οὐδέ τις γέρων.

ΔΑΡΕΙΟΣ.

Ὦ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε.

ΑΤΟΣΣΑ.

Μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα . . . .

ΔΑΡΕΙΟΣ.

Πῶς δὲ δὴ καὶ ποῖ τελευτᾷν; ἔστι τις σωτηρία;

ΑΤΟΣΣΑ.

Ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν.

ΔΑ-

VARIETAS LECTIONIS.

v. 727. κενανδρίαν] κενανδρία Ald. Rob.

v. 728. κενῆς] κεδνῆς Mosq. Viteb.

v. 730. ξυμμάχων] συμμάχων Guelf.

v. 731. φασὶν] φησὶν Guelf.

v. 732. πῶς δὲ δὴ καὶ ποῖ τελευτᾶν;] πῶς τε δὴ καὶ ποῖ τελευτᾶ; ἔστιν τις σωτηρία; Ald. Rob. πῶς τε δὴ καὶ ποῖ τελευτᾳ; ἔστι τίς σωτηρία; Turn. πῶς τε δὴ καὶ ποῖ τελευτᾷν ἔστι; τίς σωτηρία; Vict. Cant. Stanl. At Brunckius ex utroque Reg. edidit πῶς τε δὴ καὶ ποῖ τελευτᾷ; ἔστι τις σωτηρία; In Reg. B. adjecta eſt interpretatio: πῶς τε δὴ ἔρχεται, καὶ ποῖ κατήντησε τὸ πρᾶγμα; in A. gloſſa, καταντᾷ. Pro τελευτᾷς eſt in cod. Mosqu. τελευτῶ.

v. 733. ζευκτηρίαν] ζευκτηρίην Mosqu.

ΔΑΡΕΙΟΣ.

Καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε; τοῦτ' ἐτήτυμον;

ΑΤΟΣΣΑ.

Ναί· λόγος κρατεῖ σαφηνής· τοῦτό γ' οὐκ ἔνι στάσις.

ΔΑΡΕΙΟΣ.

Φεῦ· ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις· ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων. ἐγὼ δέ που
Διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτῆσαι θεούς.
Ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς ξυνάπτεται.

Νῦν

VARIETAS LECTIONIS.

v. 734. 735. omissi Mosqu. Post τήνδε et ἐτήτυμον in Ald. omissum interrogandi signum. Pauwius verba καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε; Atossae tribuere malebat, ut τοῦτ' ἐτήτυμον solum esset Darii. Quod necessarium non esse bene Heathius intellexit.

v. 735. τοῦτό γ'] τούτῳ δ' Ald. Rob. τοῦτο δ' Turn. Vict. etc. Brunckius recte dedit τοῦτό γ', utroque Regio γε non δὲ praebente. In B. τούτῳ γ' et τούτου γ' metro adversante. τούτῳ tamen Spanhemius ad Aristoph. Plut. v. 348. legendum esse opinabatur. στάσις] perperam Arnaldus corrigebat στάσει.

v. 736. χρησμῶν] χρησμὸν Mosqu. ἐς δὲ παῖδ'] Ita Mosqu. Rob. et recepi, ut concinnius. ἐς τε παῖδ' Viteb. ἐς τὸν παῖδ' Ald. Turn. Vict. etc.

v. 737. ἐπέσκηψεν] ἐπέσκηψε Ald. Rob. Turn. ἐγὼ δέ που] ἐγὼ δ' ἔμπας Rob.

v. 738. μακροῦ χρόνου] μακροῦ τοῦ χρόνου Ald. ἐκτελευτῆσαι] Sic Regg. Vit. Ald. Rob. Turn. At in Vict. est ἐκτελευτήσειν, quam secuti sunt Cant. Stanl. Recte autem Brunckius pristinam lectionem restituit.

v. 739. τις αὐτός, χὠ] Schol. legisse videtur τις, αὐτοῦ χὠ, vel τις, αὐτῷ χὠ. Contra τις, αὐτὸς χὠ Turn. Vict. Cant. Stanl. Melius

Νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι Φίλοις.
Παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει,
Ὅςτις Ἑλλήςποντον ἱρόν, δοῦλον ὥς, δεσμώμασιν
Ἤλπιζε σχήσειν ῥέοντα Βόσπορον ῥόον θεοῦ,
Καὶ πόρον μετεῤῥύθμιζε, καὶ πέδαις σφυρηλάτοις
Περιβαλών, πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
Θνήτος ὢν θεῶν τε πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
Καὶ Ποσειδῶνος κρατήσειν. Πρὸς τάδ' οὐ νόσος φρενῶν

Εἶχε

VARIETAS LECTIONIS.

diſtinxit Brunckius auctoritate Reg. A. ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὡ θεὸς — Idem in Reg. B. variam lectionem reperit adnotatam, quae, ſi minus bona, ſaltem veteris diſtinctionis index eſt, χ' ἡ θεός, adjecto ſchol. ἤγουν ἡ Ἐριννύς. ξυνάπτεται] συνάπτεται Guelf. Rob. Turn. Vict. Cant. Stanl.

v. 741. ἤνυσεν] ἤνυσε Guelf. Ald. Rob. Turn.

v. 743. ἤλπιζε] Sic Ald. Rob. ἤλπισε σχήσειν, ῥέοντα] „Quid acuminis ſit, aut venuſtatis in ῥέοντα ῥόον, ego lubens fateor me neſcire. Fallor aut legendum eſt δοῦλον ὥς δεσμώμασιν Ἤλπισε σχήσειν δέοντα, Βόσπορον ῥόον θεοῦ. Δεσμώμασιν δέοντα Attice, ut notum, ſe cohibiturum vinculis. δέοντα σχήσειν cohaeret, et pronomen reticetur." *Pauw.* Recte vero Heathius hanc ſententiam damnavit.

v. 745. ἤνυσεν] ἤνυσε Guelf. Ald. Rob. Turn.

v. 746. θνητὸς ὢν] θνητὸς ἐὼν Moſqu. θεῶν τε πάντων] Sic Brunck. e Regg. Vulgo θεῶν δὲ πάντων. εὐβουλίᾳ] ἀβουλίᾳ Ald.

v. 747. πρὸς τάδ'] πῶς τάδ' Codd. MSS. adhuc collati et edd. omnes ante Brunckium, qui Abreſchii emendationem πρὸς τάδ' recepit, recte ut opinor. Stephanus autem πῶς τάδ' interrogandi nota appoſita ſervandum duxerat. Heathius pro οὐ reponi malebat οὖν, hoc ſenſu: *quomodo igitur morbus animi eousque filium meum occupavit?*

Εἶχε παῖδ' ἐμόν; Δέδοικα μὴ πολὺς πλούτου πόνος
Οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.

ΑΤΟΣΣΑ.

Ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
Θούριος Ξέρξης. Λέγουσι δ', ὡς σὺ μὲν μέγαν τέκνοις
Πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
Ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
Τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
Τήνδ' ἐβούλευσεν κέλευθον, καὶ στράτευμ' ἐφ' Ἑλλάδα.

ΔΑΡΕΙΟΣ.

Τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
Μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω.
Τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,

Ἐξ

VARIETAS LECTIONIS.

v. 748. πόνος] Hanc lectionem, utpote quae est exquisitior e Guelf. Ald. Vict. restitui. Reliqui praebent πόρος.

v. 750. ἀνδράσιν] ἀνδράσι Ald. Turn.

v. 752. ξὺν αἰχμῇ] σὺν αἰχμῇ Turn. ἀνανδρίας] ἀνανδρία Ald.

v. 753. αἰχμάζειν] de hac lectione vide Commentar. ad h. l.

v. 754. πολλάκις κλύων κακῶν] κλύων πολλάκις κακῶν Guelf.

v. 755. ἐβούλευσεν] ἐβούλευσε Mosqu. Ald. Turn.

v. 756. Frustra Josephus Scaliger de emend. tempor. lib. VI. inter hunc et praecedentem versum quaedam intercidisse, et v. 758. post v. 762. collocandum esse censebat.

v. 757. μέγιστον, ἀείμνηστον] μέγιστον ἀεί, μνηστὸν Ald. οὐδέπω] colon ponit Turn., comma Vict.

v. 758. ἐξεκείνωσεν πεσὸν] ἐξεκένωσε πεσσὸν sic Mosqu. ἐξεκένωσε πεσὸν Guelf. Rob.

Ἐξ οὖτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
Ἕν' ἄνδρ' ἁπάσης Ἀσιάδος μηλοτρόφου
Ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
Ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσε,
Φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν.
Τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
Ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
Θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς, τέταρτος ηὔθυνε στρατόν·

Πέμ-

VARIETAS LECTIONIS.

ἐξεκένωσε πεσῶν Ald. ἐξεκείνωσε πεσὸν Turn. ἐξεκείνωσεν πεσὸν Vict. etc. Item Brunck. e codd. Regg. qui formam ἐξεκείνωσεν ionicam recte adversus Heathii emendationem ἐξαπεκένωσεν defendit. cf. not. ad v. 155. et 653. Pauwius conj. ἐξεκείνωσ' ἐμπεσόν. Haud male; nisi πεσὸν eundem quoque sensum praeberet.

v. 759. ἐξ οὔτε τιμὴν Ζεὺς] ἐξ οὗ τιμήν τε Ζεὺς Mosqu. ἐξούτετι μὴν Ald.

v. 760 ἄνδρ' ἁπάσης] ἄνδρα πάσης Mosqu. Ald. Rob. Turn. Vict. ἀνδρ' ἁπάσης Brunck. e Reg. A. Ἀσιάδος] ἀσίδος Ald. Turn. μηλοτρόφου] μηλοτρόφῳ Ald.

v. 761. ταγεῖν] παγεῖν Mosqu. εὐθυντήριον] ἰθυντήριον Mosqu. Rob.

v. 763. ἔργον ἤνυσε] ἤνυσεν ἔργον adversus metri leges Ald. Rob.

v. 768. ἤλασεν] ἤλασε Mosqu. Guelf. Ald. Rob. Turn.

v. 769. θεὸς γὰρ οὐκ ἤχθηρεν] Heathio melius videbatur: θεοὺς γὰρ οὐκ ἤχθηρεν, *deos enim inimicos sibi haud reddidit, adeo bona mente erat.*

v. 770. ηὔθυνε] ἴθυνε Reg. B. Guelf. Ald. Rob. ἴθυνε Mosqu. Brunckius ex Reg.

Πέμπτος δὲ Μέρδις ἦρξεν, αἰσχύνη πάτρᾳ,
Θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ ξὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις
Ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
[Ἕκτος δὲ Μάραφις, ἕβδομός τ' Ἀρταφρένης.]

Κἀγὼ

VARIETAS LECTIONIS.

A. edidit ηὔθυνε, adjecta, quae ſequitur, obſervatione. „In univerſum, inquit, Tragici frequentius εὐθύνω adhibent, quam ἰθύνω. Hoc bene ſervatum v. 409. alterius ſignificatio hic magis appoſita. εὐθύνω, ἰθύνω, et ἰθύω a librariis ſaepe commutata. Quod autem inter ἰθύνω et ἰθύω discrimen ſtatuunt lexicographi, an ex indole linguae ſit, et veteres obſervarint, valde dubito. Non magis differre arbitror, quam πληθύνω et πληθύω, δύνω et δύω, ἀρτύνω et ἀρτύω, ἐντύνω et ἐντύω, aliaque ſimilis formae plura. Sed quae in υνω terminantur, penultimam producunt, in altera forma correptam. Non male itaque in Eurip. Or. 1020. ſcriberetur: ἰθύων νοσερὸν κῶλον Ὀρέστου. Discrimen non agnoſcit Euſtathius ad Hom. p. 1122. l. 29. τὸ δὲ ἰθύνει, ἀμώνυμος οὖσα λέξις πολλαχοῦ λέγεται. ἰθύειν." Hactenus V. C.

v. 771. Μέρδις] „Vulgo conſpirantibus codd. Μάρδος, quod nomen in Perſicorum Regum ſerie nullibi comparet. Ex Herodoto ſatis notus Σμέρδις eſt. Nominis primam literam extrivit metri neceſſitas, quod in aliis vocibus uſitatum, ut in adfinis ſoni verbo σμέρδω, μέρδω. Emendationi favet Scholiaſtes, quam alicubi prolatam vidi, ſed librum non recordor." *Brunck.* πάτρᾳ] πάτρας Guelf. Moſqu. Vit. Ald. Rob.

v. 774. ἀνδράσιν] ἀνδράσι Turn.

v. 775. Μάραφις] Μαράφνις Guelf. Μάρφις Ald. Rob. Ἀρταφρένης] Ἀρταφέρνης Guelf. Ceterum hunc verſiculum, quem jam olim ſpurium judicaveram, poſtea Porſonus uncinis incluſit, Bothius ejecit.

Κἀγὼ πάλου τ' ἔκυρσα, τοῦπερ ἤθελον,
Κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.
Ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ' ἐμὸς παῖς, ὢν νέος, νέα φρονεῖ,
Κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς.
Εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
Ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
Οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.

ΧΟΡΟΣ.

Τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
Λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι

Πράσ-

VARIETAS LECTIONIS.

v. 776. 777. omissi Mosq.

v. 776. κἀγὼ πάλου τ' ἔκυρσα] κἀγὼ δ' ἔκυρσα πάλλου Ald. κἀγὼ ἔκυρσα πάλους Rob. κἀγὼ δ' ἔκυρσα τοῦπερ ἤθελον πάλου Turn. Victor. Cant. Stanl. Nos Brunckii lectionem e codd. Regg. erutam adoptavimus.

v. 779. ὢν νέος] νέος ὢν Mosqu. Ald. Rob.

v. 780. τὰς ἐμὰς ἐπιστολὰς] τᾶς ἐμᾶς ἐπιστολᾶς Guelf.

v. 781. εὖ γὰρ σαφῶς τόδ' ἴστ'] εὖ γὰρ σαφῶς τόδ' ἴσθ' Ald. Rob. εὖ γὰρ τόδ' ἴστε σαφῶς Guelf.

v. 783. φανεῖμεν] φάνημεν Guelf. Ald. Rob. Turn. Vict. codd. Regg. In Reg. B. imperiti cujusdam grammatici superscripta glossa, ἐφάνημεν ἰωνικῶς. Ceterum Dawesii correctionem, sic istos versiculos refingentis:

Εὖ γὰρ σαφῶς, τόδ' ἴσθ' ἐμοὶ ξυνήλικες
Ἅπαντες, ἡμεῖς, εἰ κράτη τάδ' ἔσχομεν
Οὐκ ἂν ἐφάνημεν πήματ' ἔρξαντες τόσα.

bene refutavit Heathius, Stanleji lectionem φανεῖμεν, id quod et Brunckius fecit, amplexus. φανῆμεν Mosqu.

v. 785. λόγων] λέγων Ald.

Πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;

ΔΑΡΕΙΟΣ.

Εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
Μηδ' ἦν στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
Αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.

ΧΟΡΟΣ.

Πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ ξυμμαχεῖ; 799

ΔΑΡΕΙΟΣ.

Κτείνουσα λιμῷ τοὺς ὑπερκόμπους ἄγαν.

ΧΟΡΟΣ.

Ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἄρωμεν στόλον.

ΔΑ-

VARIETAS LECTIONIS.

v. 786. πράσσοιμεν ὡς ἄριστα] In Moſqu. corrupte ſcriptum πράσσοι ὡς ἄριστα.

v. 787. ἐς τὸν] ἐς τοῦ Ald.

v. 788. μηδ' ἦν] μηδ' εἰ Codd. MSS. et edd. ante Brunckium, qui μηδ' ἦν repoſuit, quia εἰ cum ſubj. ap. Atticos non conſtruitur. Ei hoc libentius obſecuti ſumus, quod hoc ἦν elegantius eſt, quam repetitum εἰ.

v. 789. αὐτὴ] αὕτη Moſq. Turn.

v. 790. ξυμμαχεῖ] Sic Reg. B. Vulg. συμμαχεῖ.

v. 792. ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἄρωμεν στόλον] ἀλλ' εὐσταλῆ τε λεκτὸν ἀροῦμεν στόλον, invito metro Guelf. Ald. ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀρεῖμεν στόλον Moſqu. ἀλλ' εὐσταλῆ τε λεκτὸν ἄρωμεν στόλον Rob. ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον Turn. Vict. Cant. Stanl. At in omnibus his lectionibus metrum claudicat. Daweſius in Miſcell. critt. correxit: ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἢ 'ροῦμεν στόλον, pro εἰ ἀροῦμεν, hoc ſenſu: *ſed quid ſi delectas copias inſtruxerimus?* Brunckius Regium cod. utrumque cum lectione Turnebi etc. conſentientem deprehendit; in mar-

ΔΑΡΕΙΟΣ.

'Ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
Στρατὸς κυρήσει νοστίμου σωτηρίας.

ΧΟΡΟΣ.

Πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
Περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;

ΔΑΡΕΙΟΣ.

Παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
Χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
Βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
Κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
Λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
Μίμνουσι δ', ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
Ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
Οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
Ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
Οἳ γῆν μολόντες Ἑλλάδ', οὐ θεῶν βρέτη

VARIETAS LECTIONIS.

gine tamen cod. B. ſcriptum erat: γρ. ἀλλ' εὖτε; inde vir doctiſſimus occaſionem cepit ſic emendandi: ἀλλ' εὖτε λεκτὸν κευσταλῆ 'ροῦμεν στόλον; *Sed quando lectis et expeditis militibus bellum moverimus, nonne ſpes erit proſperi ſucceſſus?* Porſono placuit lectio Robort. (not. ad Eurip. p. 463. ed. Lipſ.) ἄρωμεν, quam nunc recepimus.

v. 794. κυρήσει] κύρσει Rob.

v. 799. βλέψαντα] βλέψοντα Vit. βλέποντας Rob.

v. 801. ἐλπίσιν] ἐλπίσι Guelf. Ald.

v. 803. φίλον] φίλος Vit.

v. 804. παθεῖν] πατεῖν Rob.

v. 805. φρονημάτων] δωρημάτων Guelf.

Ἠιδοῦντο συλᾶν, οὐδὲ πιμπράναι νεώς·
Βωμοὶ δ᾽ ἄϊστοι, δαιμόνων θ᾽ ἱδρύματα
Πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων.
Τοιγὰρ κακῶς δράσαντες, οὐκ ἐλάσσονα
Πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν
Κρηπὶς ὕπεστιν, ἀλλ᾽ ἔτ᾽ ἐκπιδύεται.
Τόσος γὰρ ἔσται πέλανος αἱματοσταγὴς
Πρὸς γῆν Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
Θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ
Ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν,
Ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
Ὕβρις γὰρ ἐξανθοῦσ᾽ ἐκάρπωσε στάχυν
Ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
Τοιαῦθ᾽ ὁρῶντες τῶνδε τἀπιτίμια

Μέ-

VARIETAS LECTIONIS.

v. 807. πιμπράναι νεώς] πιμπρᾶν τοὺς νέους Guelf. οὐδ᾽ ἐμπίμπραναι νεώς Rob. Post νεὼς Mosqu. add. τινάς.

v. 808. βωμοὶ] βωμῶν Mosq. δαιμόνων θ᾽ ἱδρύματα] δαιμόνων ἱδρύματα Ald.

v. 809. πρόῤῥιζα] πρόριζα Ald.

v. 810. δράσαντες] πράσσοντες Ald.

v. 811. κακῶν omissum Mosqu.

v. 812. ἐκπιδύεται] Vulg. ἐκπαιδεύεται. Sed cf. Comment.

v. 813. αἱματοσταγὴς] αἱματοσφαγὴς Guelf. Rob.

v. 814. πρὸς γῆν] πρὸς γᾶ Ald. Rob. πρὸς γῇ Turn. Δωρίδος] Δωρικὸς Guelf.

v. 815. θῖνες] θῆνες Ald. δὲ νεκρῶν καὶ] νεκρῶν δὲ καὶ Mosqu. Rob. Turn. τριτοσπόρῳ] τρισπόρῳ Rob.

v. 816. σημανοῦσιν] σημαίνουσιν Mosqu.

v. 817. χρὴ] δεῖ Ald.

v. 820. τἀπιτίμια] τὰ ἐπιτίμια Ald.

Μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
Ὑπερφρονήσας τὸν παρόντα δαίμονα,
Ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
Φρονημάτων ἔπεισιν, εὔθυνος βαρύς.
Πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένον,
Πινύσκετ' εὐλόγοισι νουθετήμασι,
Λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
Σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
Ἐλθοῦσ' ἐς οἴκους, κόσμον ὅστις εὐπρεπὴς

VARIETAS LECTIONIS.

v. 821. μηδέ τις] μὴ δέ τις Ald.

v. 823. ἐκχέῃ] ἐκχέει cod. Mosqu.

v. 824. omissus Mosqu.

v. 825. ἔπεισιν] ἔπεστιν Ald. Rob. Turn. etc. ἔπεισιν dedit Brunck. e Valckenarii emendatione ad Phoeniss. 192.

v. 826. κεχρημένον] Hanc lectionem Scholiastes praebuit, quam ut sensui ceteris aptiorem recepi. κεχρημένοι Ald. Turn. Vict. etc. Brunckius recepit lectionem cod. Reg. B. margini adscriptam κεκτημένοι, quae tamen nobis potius, postquam invecta esset lectio κεχρημένοι, ex hujus interpretatione nata esse videtur. De sensu autem consule Comment. ad h. l.

v. 829. ὦ γεραιὰ] αὖ γηραιὰ Ald. ὦ γηραιὰ Rob. αυ γέραια Turn.

v. 830. εὐπρεπὴς] „Impressis concinunt ambo codices Regg. Valckenario ad Phoeniss. 801. placet εὐτρεπής. Quanquam plurimum apud me valet doctissimi viri auctoritas, tamen ab eo dissentire cogor. Persae, gens luxui dedita, Regem suum nunquam conspiciebant, nisi splendidissimo instructum cultu. Inde horrore perstringuntur audientes Xerxem laceris pannis obsitum. Suadet igitur Darius uxori, ut oblatis filio quam pretiosissimis ve-

Λαβοῦσ' ὑπαντίαζε παιδί· πάντα γὰρ
Κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
Στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων.
Ἀλλ' αὐτὸν εὐφρόνως σὺ πραΰνον λόγοις.
Μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
Ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω·
Ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
Ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν,
Ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟΡΟΣ. ΑΤΟΣΣΑ.

ΧΟΡΟΣ.

Ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
Ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.

ΑΤΟΣΣΑ.

Ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
Ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,

Ἀτι-

VARIETAS LECTIONIS.

ſtibus, dignitatem illi reddat, et aliqua ratione ſoletur. εὐτρεπὴς Perſicae magnificentiae minus convenit, et μικροπρεπὲς eſt. Nonne gaza regia omnis generis pretioſiſſimis veſtibus plena erat? Imo mille pro una paratae erant." — *Brunck.*

v. 832. σώματι] σώμασι Moſqu.

v. 838. ψυχῇ] ψυχὴν Ald. Rob., unde Pauwius conjicit antiquam lectionem fuiſſe ψυχὴν διδόντες ἡδονῇ.

v. 842. πόλλ' ἐσέρχεται κακὰ] πολλὰ εἰσέρχεται κακὰ Moſqu. Ald. Rob. πολλὰ κακ' εἰσέρχεται Guelf.

Ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
Ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
Ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων,
Ὑπαντιάζειν παίδ' ἐμῷ πειράσομαι.
Οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

ΧΟΡΟΣ.

στροφή. Ὢ πόποι, ἦ μεγάλας
Ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς
Ἐπεκύρσαμεν, εὐθ' ὁ γηραιὸς
Πανταρκής, ἀκάκας,
Ἄμαχος βασιλεύς, ἰσόθεος
Δαρεῖος ἆρχε χώρας.
ἀντιστρ. Πρῶτα μὲν εὐδοκίμου

VARIETAS LECTIONIS.

v. 845. κλύουσαν] κλύουσα Ald.

v. 847. παίδ' ἐμῷ] ἐμῷ παιδὶ Ald. Rob. παιδὶ ἐμῷ Guelf. Mosqu. πειράσομαι] πειράσωμαι Ald.

v. 849. μεγάλας] μεγάλης Ald. Rob. Turn.

v. 850. πολισσονόμου] πολισονόμου Rob.

v. 851. ἐπεκύρσαμεν] ἀπεκύρσαμεν Guelf. εὐθ'] εὖτ' Ald. Rob. Turn. γηραιὸς] Sic Reg. A. Rob. γεραιὸς Vict. Cant. haud ferente metro.

v. 852. ἀκάκας] Sic Brunckius e Regg. ἀκάκης Ald. Rob. Turn. Vict. etc. πανταρκὴς] παντάχης Rob. παντάρκας Guelf.

Στρατιᾶς ἀπεφαινόμεθ', ἠδὲ νόμι-
μα τὰ πύργινα πάντ' ἐπεύθυνον·
Νόστοι δ' ἐκ πολέμων
Ἀπόνους, ἀπαθεῖς ἡμᾶς εὖ
Πράσσοντας ἆγον ἐς οἴκους.
μονοστρ. Ὅσας δ' εἷλε πόλεις,
Πόρον οὐ διαβὰς
Ἅλυος ποταμοῦ,
Οὐδ' ἀφ' ἑστίας συθεὶς,
Οἷαι Στρυμονίου πελάγους
Ἀχελωΐδες εἰσὶ πάροικοι
Θρηκίων ἐπαύλων

Λίμνας

VARIETAS LECTIONIS.

v. 856. ἀπεφαινόμεθ'] Ita Guelf. Vict. Cant. ἀποφαινόμεσθ' Ald. Rob. Turn. Brunckius de conjectura dedit ἀποφαινόμεν'. De ſenſu cf. Comment. ad h. l. ἠδὲ] ἢ δὲ Ald.

v. 857. ἐπευθυνον] Pauwius, quia v. 851. ſcriptum viderat γεραιός, h. l. ut antiſtrophicum ſtrophico aequalem efficeret, corrigere tentabat εὔθυνον, quo jam nihil opus eſt, cum illic rectius legatur γηραιός.

v. 659. ἡμᾶς abeſt in omnibus edd. ante Brunckium, qui id addidit e Reg. B. ut congruentem antithetico redderet verſiculum. Eſt enim uterque paroemiacus.

v. 860. εὖ πράσσοντας] εὖ πράσσοντα Rob. ἆγον ἐς οἴκους] Pauwius vel ἄγαγόν τ' ἐς οἴκους, vel ἄγαγόν γ' ἐς οἴκους legendum putabat. Neutrum neceſſarium.

v. 861. πόλεις] Sic Regg. Ald. Rob. πόλις Turn.

v. 863. Ἅλυος] Ἅλους Vict.

v. 866. Ἀχελωΐδες] ἀχελωΐδος Ald.

v. 867. Θρηκίων] Θρηϊκίων Ald. Rob. Turn. Vict. ἐπαύλων] ἐπαύλεων Rob.

Λίμνας τ' ἔκτοθεν, αἳ
Κατὰ χέρσον ἐλη-
λαμέναι πέρι πύργον,
Τοῦδ' ἄνακτος ἄϊον,
Ἕλλας τ' ἀμφὶ πόρον
Πλατὺν αὐχόμεναι,
Μυχία τε Προποντὶς
Καὶ στόμα Πόντου,
Νᾶσοι θ' αἳ κατὰ πρῶν'
Ἅλιον περίκλυστοι
Τᾷδε γᾷ προςήμεναι,
Οἵα Λέσβος, ἐλαι-
όφυτός τε Σάμος,
Χῖος, ἠδὲ Πάρος,
Νάξος, Μύκονος,
Τήνῳ τε συνάπτουσ'

VARIETAS LECTIONIS.

v. 868. ἔκτοθεν] ἔκτοσθεν Ald. Rob. Turn.

v. 870. πέρι] περὶ Ald. Rob. Turn. Vict. Cant. Pro περὶ πύργον Pauwius conj. περίπυργον vel περίπυργοι.

v. 872. Ἕλλας τ'] Addidimus copulam e Guelf. in aliis omissam.

v. 873. αὐχόμεναι] Sic Reg. B. Guelf. Rob. ἐχόμεναι Ald. Turn. Vict. Cant. εὐχόμεναι Reg. A. In Reg. B. adjecta est glossa: ἀναβρυνόμεναι. γρ. ἐρχόμεναι, ἢ καὶ ἑλκόμεναι. Postrema recte Brunckius inepta judicat, et vix memoratu digna.

v. 875. στόμα] στόμωμα Rob.

v. 876. αἳ] Vulgarunt omnes αἱ, sed recte Brunckius in notis praepositivum articulum esse monuit.

v. 879. οἷα] οἵα Victor. Cant.

v. 882. Μύκονος] μύκονις Ald. Μύκων Guelf. Rob.

Ἄνδρος ἀγχιγείτων·
Καὶ τὰς ἀγχιάλους
Ἐκράτυνε μεσακτίους,
Λῆμνον, Ἰκάρου θ' ἕδος
Καὶ Ῥόδον, ἰδὲ Κνίδον,
Κυπρίας τε πόλεις,
Πάφον, ἠδὲ Σόλους,
Σαλαμῖνά τε, τᾶς
Νῦν ματρόπολις
Τῶνδ' αἰτία στεναγμάτων·
Καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον
Ἰόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε
Σφετέραις φρεσίν· ἀκάματον δὲ παρῆν
Σθένος ἀνδρῶν τευχηστήρων,

Παμ-

VARIETAS LECTIONIS.

v. 884. Ἄνδρος] ἄντρος Mosqu.

v. 886. ἐκρτάτυνε] ἐκράτηνε Rob. μεσακτίους] ex emendatione Heathii, quam Brunckius quoque probavit. μεσάγκτους Guelf. Ald. Vict. μεσάκτους Regg. Rob. Turneb. etc.

v. 887. Λῆμνον] Frustra corrigit Pauw Μῆλον. ἕδος] Sic Vit. Mosqu. Guelf. Regg. Ald. Rob. Turn. ἕλος Vict. Cant. non tamen, ut Brunckius opinabatur, e propagato typographi errore; verum ea lectio quorundam codd. MStorum fuit, jam a Schol. memorata.

v. 891. τᾶς] Ita Brunck. e Regg. τὰς Vit. τῆς cett.

v. 892. ματρόπολις] ματροπόλεις Vit.

v. 894. Hunc et sqq. versus Brunckius, quem sequimur, ita distinxit, ut in Reg. A. scripti erant.

v. 896. Ἑλλάνων] ἐλαύνων Guelf. Rob. Ἑλλήνων Turn.

v. 897. Φρεσὶν] χερσὶν Gu. Rob. ἀκάματον] ἀναίματον Turn.

v. 898. τευχηστήρων] τευχηστόρων Ald.

Παμμίκτων τ' ἐπικούρων·
Νῦν δ' οὐκ ἀμφιλόγως
Θεότρεπτα τάδ' αὖ
Φέρομεν, πολέμοισι
Δμαθέντες μεγάλως,
Πλαγαῖς τε ποντίαισιν.

ΞΕΡΞΗΣ. ΧΟΡΟΣ.

ΞΕΡΞΗΣ.

Ἰώ, δύστηνος ἐγὼ στυγερᾶς μοίρας
Τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
Ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ. Τί πάθω τλήμων;
Λέλυται γὰρ ἐμοὶ γυίων ῥώμη,

Τήνδ'

VARIETAS LECTIONIS.

v. 899. παμμίκτων] Sic Reg. Mosqu. παμμίκτα Rob. παμμίκταν Ald. Turn. Vict. Cant.

v. 900. ἀμφιλόγως] ἀμφιβόλως Ald. Rob.

v. 901. θεότρεπτα] θεόπρεπτα Ald. θεόπεπτα Rob. τάδ' αὖ] τάδ' ἦν ἂν Ald.

v. 903. δμαθέντες] δαμασθέντες Guelf. Ald. Turn. δαμαθέντες Rob.

v. 904. πλαγαῖς τε ποντίαισιν] πλαγαῖσι ποντίαισι Ald. Rob. πλαγαῖσι ποντίαισιν Turn. Vict. Cant. Brunckius in cod. Reg. B. reperit πλαγαῖσί τε ποντίαισιν, unde copulam bene inseruit, et πλαγαῖς, ut versus jambicus efficeretur, rescripsit.

v. 906. ἀτεκμαρτοτάτης] ἀτεκμαρτοτάτως Viteb. haud inepte.

v. 907. ὠμοφρόνως] ὁμοφρόνως Mosqu.

v. 909. ἐμοὶ] Sic rescripsi pro vulg. ἐμῶν. Illud enim, quod etiam in Guelf.

Τήνδ' ἡλικίαν ἐςιδόντ' ἀστῶν.
Εἴθ' ὤφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
Τῶν οἰχομένων
Θανάτου κατὰ μοῖρα καλύψαι.

ΧΟΡΟΣ.

Ὀτοτοί, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
Καὶ Περσονόμου τιμῆς μεγάλης,
Κόσμου τ' ἀνδρῶν,
Οὓς νῦν δαίμων ἀπέκειρε·
Γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
Ἥβαν, Ξέρξᾳ κταμέναν, Ἅιδου

Σά-

VARIETAS LECTIONIS.

tanquam glossa superscriptum, concinnius est, et elegantius.

v. 910. ἐςιδόντ'] εἰςιδάντ' Ald.

v. 911. ὤφελε] ὄφελε Turn. quod metrum poscere falso sibi persuadebat Arnaldus.

v. 911–913. Ζεῦ, — μοῖρα] Sic legendum esse conjecerat Stanl. idque Brunckius in cod. Reg. A. reperit. Reliqui omnes Ζεὺς — μοῖρα.

v. 912. τῶν οἰχομένων] τῶν abest Ald.

v. 914. ὀτοτοὶ] ὀτοτοτοὶ Vict. Cant. βασιλεῦ] absunt commata post ὀτοτοὶ et βασιλεῦ Vict. Cant.

v. 917. οὓς νῦν] ὃς νῦν Ald. ἀπέκειρε] ἐπέκειρεν Vit.

v. 918. γᾶ δ' αἰάζει] γαία δ' αἰάξει Ald. Rob. ἡ γᾶ δ' αἰάζει Vit. τὰν] τ' ἂν Ald.

v. 919. Ξέρξᾳ κταμέναν] Pauwius ita legendum ac distinguendum esse censebat: Ξέρξα, κταμέναν ᾅδου, ut Ξέρξα esset vocativus, et ᾅδου σάκτορι ad Charontem pertineret. Heathius pro Ἅιδου, ἄκως, *indigne*, et pro σάκτορι, ἄκτορι, *duci*, corrigendum opinabatur. Sed frustra se torserunt viri docti, quod putabant haec audacius dicta esse, quam ut a Choro Regi oggesta fuisse credendum sit. Verum

Σάκτορι, Περσᾶν. Ἀγβατάνων γὰρ
Πολλοὶ φῶτες, χώρας ἄνθος,
Τοξοδάμαντες, πάνυ γὰρ φύστις
Μυριὰς ἀνδρῶν, ἐξέφθινται.

ΞΕΡΞΗΣ.

Αἶ αἶ αἶ αἶ, κεδνᾶς ἀλκᾶς.

ΧΟΡΟΣ.

Ἀσία δὲ χθών, βασιλεῦ, γαίας
Αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

ΞΕΡΞΗΣ.

Ὅδ' ἐγών, οἶ οἴ, αἰακτός,

Μέ-

VARIETAS LECTIONIS.

hunc ſcrupulum facile ſibi ex animo evellere poterant. Bene Brunckius. „Nihil, inquit, diſcrepat codicum ſcriptura. Cur hic aliquid mutandum ſit, non video: nec quaerendum, an talia Perſae Regi ſuo dicere auſi fuiſſent. Non enim iſta, ut coram Perſis recitarentur, ſcripta, ſed coram Athenienſibus, quorum aures nihil gratius accidere poterat, quam crimina haec a ſenibus in Xerxem conjecta."

v. 920. Ἀγβατάνων] Ita emendandum eſſe docuit Weſſeling. ad Herodot. p. 51. Ἀδαγβάται Ald. Ἀδαβάται Rob. Ἀγδαβάται Guelf. Turneb. Vict. Cant. ἀγχεβάται conj. Pauw. ἱπποβάται Heath.

v. 922. φύστις] φύσις Turn. φύξις conj. Pauw. φεῦ 'στιν Heath. Sed nihil mutandum. φύστίς quoque in Regg. cum gloſſa ἀναβλάστησις.

v. 924. αἶ — αἶ bis tantum Guelf. Ald. Rob.

v. 925. αἰνῶς αἰνῶς] αἰνῶς αἰνῶν Guelf. γόνυ] γοῦνυ Turn. Vict. Cant.

v. 927. In hujus, et qui ſequuntur duorum verſiculorum collocatione ſecutus ſum Schol. metricum, qui

Μέλεος, γέννᾳ γᾷ τε πατρί-
ᾳ κακὸν ἄρ' ἐγενόμαν.

ΧΟΡΟΣ.

Πρόςφθογγόν σοι νόστου, τὰν
Κακοφάτιδα βοὰν
Κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος
Πέμψω, πέμψω,
Πολύδακρυν ἰαχάν.

ΞΕΡΞΗΣ.

Ἵετ' αἰανὴν καὶ πανόδυρτον
Δύςθροον αὐδάν.
Δαίμων γὰρ ὅδ' αὖ
Μετάτρεπτος ἐπ' ἐμοί.

ΧΟ-

VARIETAS LECTIONIS.

ait priores duo, 927. 928. esse anapaesticos ἐφθημιμερεῖς, ultimum vero, 929. dimetrum e proceleusmatico. Ita nihil opus est mutari. Brunckius autem sine codicis auctoritate οἲ οἲ in οἷον, et ἐγενόμαν in ἐφαάνθην mutavit, hosque versiculos hunc in modum constituit:

Ὅδ' ἐγὼν, οἷον, αἰακτὸς μέλεος γέννα καὶ γᾷ
Πατρίᾳ κακὸν ἄρ' ἐφαάνθην.

v. 928. γέννᾳ] γένναν Rob.

v. 929. ἐγενόμαν] Sic Guelf. Vit. Reliqui ἐγενόμην.

v. 930. πρόςφθογγον] πρὸ φθόγγου Ald. πρὸς φθόγγου Rob. προςφθόγγου Guelf.

v. 933. Μαριανδυνοῦ] μαριανδινοῦ Ald. Μαριανδινοῦ Rob.

v. 937. δύςθροον] δύςθροαν Ald. βοὰν δύςθροον Rob.

v. 938. ὅδ' αὖ] ὅδ' ἂν Ald.

v. 939. μετάτρεπτος] Sic Reg. B. μετάτροπος Guelf. Rob. Turn. Vict. Cant. μεσάτροπος Mosqu.

ΧΟΡΟΣ.

Ἥσω τοι καὶ πανόδυρτον,
Λαοπαθῆ τε σεβίζων
Ἁλίτυπά τε βάρη·
Πόλεως γέννας πενθητῆρος·
Κλάγξω δ' αὖ γόον ἀρίδακρυν.
Ἰώνων γὰρ ἀπηύρα
Ἰώνων ναύφρακτος
Ἄρης ἑτεραλκής,
Νυχίαν πλάκα κερσάμενος
Δυςδαίμονά τ' ἀκτάν.

ΞΕΡΞΗΣ.

Οἶ οἶ οἶ βόα, καὶ πάντ' ἐκπεύθου.

ΧΟΡΟΣ.

Ποῦ δέ σοι φίλων ὄχλος,
Ποῦ δέ σοι παραστάται

Οἷος

VARIETAS LECTIONIS.

v. 940. ἥσω τοι] ἥσω τὶ Ald.

v. 941. λαοπαθῆ τε] abest τε Ald. Rob. Turn.

v. 944. ἀρίδακρυν] εὐρύδακρυν Ald. Turn.

v. 946. ναύφρακτος] νεόφρακτος Ald.

v. 947. Ἄρης ἑτεραλκής] Pauwius emendabat Ἄρης γ' ἑτεραλκής, perperam.

v. 948. νυχίαν] Praeter necessitatem Arnaldus corrigebat βρυχίαν. Abreschius, si quid mutandum esset, βυθίαν se malle profitetur. Heathius post Pauwium praefert μυχίαν. Sed bene se habet vulgata lectio.

v. 951. ποῦ δέ σοι φίλων ὄχλος] Recepi lectionem a Steph. memoratam, quam etiam enarrator metrorum Graecus in cod. suo invenerit necesse est; propterea quod hunc versiculum, item

Οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων,
Καὶ Δοτάμας, ἠδ' Ἀγδαβάτας,
Ψάμμις, Σουσισκάνης τ'
Ἀγβάτανα λιπών;

ΞΕΡΞΗΣ.

Ὀλοοὺς ἀπέλιπον Τυρίας
Ἐκ ναὸς ἔῤῥοντας ἐπ' ἀκταῖς
Σαλαμινίσι, στυφελοὺς
Θείνοντας ἐπ' ἀκτάς.

ΧΟ-

VARIETAS LECTIONIS.

ut ſequentes, trochaicum ἐφθημιμερῆ pronuntiat. ποῦ σοι φίλων ὄχλος Rob. ποῦ δὴ φίλων ἄλλος ὄχλος Guelf. In reliquis eſt ποῦ δὲ φίλων ἄλλος ὄχλος. Fortaſſis autem v. 950. 951. transpoſiti ſunt. Si enim Chorus, poſtquam iſta δυςδαίμονα τ' ἀκτὰν dixiſſet, ſtatim pergeret:

ποῦ δέ σοι φίλων ὄχλος...

aptius interpellaret Xerxes:

οἶ οἶ οἶ βόα καὶ πάντ' ἐκπεύθου,

nec minus concinne Chorus orationem interruptam ſic perſequeretur:

ποῦ δέ σοι παραστάται;

v. 954. Σούσας] Σούδας Turn. Πελάγων] καὶ Πελάγων Rob.

v. 955. καὶ Δοτάμας] abeſt καὶ Rob. καὶ Δομάσας Turn. Ἀγδαβάτας] Αἰγαβάτας Ald. Ἀγαβάτας Turn. Vict. Cant.

v. 956. Σουσισκάνης τ'] καὶ Σουσισκάνης τ' Rob. καὶ Σουσισκάνης Vict. Cant.

v. 957. Ἀγβάτανα] Ἀκβάτανα Ald. ἐκβάταν' Rob. τἀκβάτανα Turn. Vict. Cant. Nos Ἀγβάτανα cum Brunckio verum putamus. λιπών] ἐκλιπὼν Rob.

v. 958. ἀπέλιπον] ἔλιπον Rob.

v. 959. ἐκ ναὸς] ναὸς Rob. ἔῤῥοντας] αἴροντας Vit. Moſq. ἐπ' ἀκταῖς] ἐπ' ἀκραῖς conj. Pauw.

v. 960. Σαλαμινίσι] σαλαμινῆσι Ald.

v. 960 ſq. στυφελοὺς θείνοντας ἐπ' ἀκτάς.] στυφέλου

ΧΟΡΟΣ.

Οἶ οἶ οἶ, ποῦ δέ σοι Φαρνοῦχος
Ἀριόμαρδός τ' ἀγαθὸς
Ποῦ δὲ Σευάλκης ἄναξ,
Ἢ Λίλαιος εὐπάτωρ
Μέμφις, Θάρυβις, καὶ Μασίστρας,
Ἀρτεμβάρης τ' ἠδ' Ὑσταίχμας;
Τάδε σ' ἐπανηρόμαν.

ΞΕΡ.

VARIETAS LECTIONIS.

θείνοντας ἐπ' ἀκτᾶς Guelf. Vit. στυφέλου θανόντας ἐπ' ἀκταῖς Ald. Turn. στυφέλου θείνοντας ἐπ' ἀκτὰς Rob. στυφέλου θανόντας ἐπ' ἀκτᾶς Vict. Cant. In Reg. utroque θείνοντας. In Reg. B. ἀκτὰς et ἀκτᾶς.

v. 962. Φαρνοῦχος] Φανοῦχος Vit. Φανοῦρχος Rob.

v. 963. Ἀριόμαρδός τ'] καριομάρδος τ' Ald. Rob. Turn. κ' Ἀριόμαρδός τ' Vict. Cant. In Codd. Regg. legitur Καρίσμαρδός τ'. In Reg. B. notatur γρ. καριόμαρδός τ'. Recte autem Brunckius, quem imitati ſumus.

v. 964 ſq. ποῦ δὲ — εὐπάτωρ] In Aldina ſic:

ποῦ δὲ σεβάλκις ἢ λιλαίαται
ποῦ δὲ σευάκης ἄναξ ἢ λίλαιος εὐπάτωρ.

In Rob. ita: ποῦ δὲ σευάλκης ἄναξ μέμφθις. In Turn. Victor. etc. pro Σευάλκης, quod Brunckius dedit e Reg. B., ſcribitur Σεβάλκης.

v. 966. Μέμφις] Μέμφθις Ald. Rob. Θάρυβις] Θώρυβις Ald. θάμυρις Rob. Μασίστρας] μασίστρης Ald. Rob. Vict. Cant.

v. 967. Ὑσταίχμας] ϙισταίχμας Ald. οἰσταίχμας Rob.

v. 968. ἐπανηρόμαν] Hanc ſcripturam Brunck. e pravis codd. Regg. lectionibus eruit. In Reg. A. eſt σ' ἐπαναιρόμην. In B. ἐπανέρωμαι. In edd. Ald. Rob. Turn. Vict. Cant. ἐπανέρομαι.

ΞΕΡΞΗΣ.

Ἰὼ, ἰώ μοι μοι
Τὰς ὠγυγίους κατιδόντες
Στυγνὰς Ἀθάνας, πάντες
Ἑνὶ πιτύλῳ
Ἒ ἓ ἔ, τλάμονες
Ἀσπαίρουσι χέρσῳ.

ΧΟΡΟΣ.

Η καὶ τὸν Περσῶν αὐτοῦ
Σὸν πιστὸν ὄντ' ὀφθαλμὸν
Μυρία μυρία πεμπαστάν,
Βατανώχου παῖδ' Ἄλπιστον
Τοῦ Σησάμα τοῦ Μυγαβάτα,
Πάρθον τε, μέγαν τ' Οἰβάρην
Ἔλιπες, ἔλιπες;

ΞΕΡΞΗΣ.

Ὦ ὢ δαΐων.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 970. ὠγυγίους] ὠγυγίας Ald. Rob. Turn. Vict. Cant.

v. 974. ἀσπαίρουσι] ἀπαίρουσι Ald.

v. 975. αὐτοῦ] αὐτὸν Ald.

v. 976. σὸν πιστὸν] τὸν σὸν πιστὸν Rob. Vict. Cant. σὸν τὸν πίστὸν Turn. ὄντ' ὀφθαλμὸν] Sic Rob. πάντ' ὀφθαλμὸν Ald. Turn. Vict. Cant. παντόφθαλμον conj. Stanl.

v. 978. Βατανώχου] Βατανόχου Ald. Rob. Turn.

v. 979. Σησάμα] Sic Mosq. Reg. A. Σησάμου Victor. Cant. Μυγαβάτα] Μεγαβάτα Ald. μεγαβάταν Rob.

v. 980. Πάρθον] Πάρθεον Vict. Cant. Οἰβάρην] οἰνοβάρην Ald. οἰνοβάρην τ' Turn..

v. 981. ὢ ὢ δαΐων] Choro tribuuntur Ald. At in Rob. ἔλιπες ἔλιπες quoque Xerxi adſignantur. In Vict Cant. ὢ δαΐων legitur ſub Xerxis perſona. Pro ὢ δαΐων Heathius conj. ὢ δαίμον.

ΧΟΡΟΣ.

Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

ΞΕΡΞΗΣ.

Ἴυγγά μοι δῆτ᾽ ἀγαθῶν
Ἑτάρων ὑπομιμνήσκεις,
Ἄλαστα στυγνὰ πρόκακα
Λέγων. βοᾷ βοᾷ
Μελέων ἔνδοθεν ἦτορ.

ΧΟΡΟΣ.

Καὶ μὴν ἄλλο γε ποθοῦμεν
Μάρδων ἀνδρῶν μυριοντάρχαν
Ξάνθην, ἄρειόν τ᾽ Ἀγχάρην,
Δίαιξίν τ᾽, ἠδ᾽ Ἀρσάκην
Ἱππιανάκτας
Κιγδαγάταν, καὶ Λυθίμαν,
Τόλμον τ᾽ αἰχμᾶς ἀκόρεστον.

VARIETAS LECTIONIS.

v. 982. πρόκακα] πρὸς κακὰ Vit. Moſqu. Reg. A. Ald. πρὸς κακοῖς Rob.

v. 983. ἴυγγα] ἴυγα Ald. μοι] με Rob.

v. 984. ἑτάρων] ἑτέρων Ald.

v. 985. πρόκακα] πρὸ κακὰ Ald.

v. 988. ἄλλο γε] Sic Reg. A. ἄλλο τὶ Vict. Cant.

v. 989. Μάρδων] perperam Stanlejus corr. Μάρδων᾽. ἀνδρῶν] ἀνέρων Pauwio metri cauſa ſcribendum videbatur. μυριοντάρχαν] μυριόνταρχον Ald. Vict. μυριόναρχον Rob.

v. 990. Ξάνθην] ξάνθον Rob.

v. 993. Κιγδαγάταν] κυγδαγάταν Ald. κύγδαταν Rob. λυθίμαν] Sic Reg. A. λυθίμναν Ald. Rob. etc.

v. 994. τόλμον τ᾽] τόμον Ald. Rob. τόλμον Turn. Vict. Cant. τόλμαν τόλμαν Guelf. ſuperſcripto ſchol. τολμηρόν. αἰχμᾶς] αἰχμῆς Ald.

ΞΕΡΞΗΣ.

Ἔταφεν, ἔταφεν, οὐκ ἀμφὶ σκηναῖς
Τροχηλάτοισιν, ὄπισθε δ' ἑπόμενοι.
Βεβᾶσι γὰρ οἵπερ ἀκρόται στρατοῦ,
Βεβᾶσιν, οἲ οἴ, νώνυμοι.

ΧΟΡΟΣ.

Ἰὴ ἰή, ἰὼ ἰὼ ἰὼ ἰώ,
Δυςδαίμονες. ἔθετ' ἄ-
ελπτον κακὸν διαπρέπον
Οἷον δέδορκεν ἄτα.

ΞΕΡΞΗΣ.

Πεπλήγμεθ' οἵαι δαίμονος τύχαι.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 995. ἔταφεν ἔταφεν] Ita emendavit Valckenaer ad Eurip. Hippol. 1247. Aeolice pro ἐτάφησαν. ἔταφον ἔταφον Guelf. Ald. Rob. Vict. Cant. — οὐκ ἀμφὶ] abeſt οὐκ Rob.

v. 996. ὄπισθε] ὄπισθεν Ald. Turn. Vict. Cant. ἑπόμενοι] ἑπόμενος Turn.

v. 997. ἀκρόται] Ita eſt in Rob. et apud Schol. quoque memoratur. Vulgo in edd. ἀγρόται.

v. 998. βεβᾶσιν οἳ οἳ νώνυμοι] βεβᾶσιν οἳ νώνυμοι Vit. βεβᾶσιν ἀνώνυμοι Rob. βεβᾶσιν οἳ νώνυμοι Turn.

v. 999. ἰὴ — ἰὼ] ἰὴ quinquies, ἰὼ octies repetitum Ald. utrumque bis Rob. ἰὴ bis, ἰὼ quater Turn. Vict.

v. 1000. δυςδαίμονες] abeſt Ald. ὦ δαίμονες Guelf. Rob. δαίμονες Moſq. ἔθετ'] ἔλθετ' Moſqu.

v. 1003. δαίμονος] δι' αἰῶνος Ald. Turn. Vict. Cant. δὴ δι' αἰῶνος Rob.

ΧΟΡΟΣ.

Πεπλήγμεθ'· εὔδηλα γάρ·
Νέαι νέαι δύαι δύαι,
Ἰαόνων ναυβατᾶν
Κύρσαντες οὐκ εὐτυχῶς.
Δυσπόλεμον δὴ τὸ γένος Περσῶν.

ΞΕΡΞΗΣ.

Πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον
Τάλας πέπληγμαι.

ΧΟΡΟΣ.

Τί δ' οὖν; ὄλωλεν
Μεγάλα τὰ Περσῶν.

ΞΕΡΞΗΣ.

Ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;

VARIETAS LECTIONIS.

v. 1004 — 1008. Choro tribuuntur Ald. Xerxi ab aliis.

v. 1004. εὔδηλα γὰρ] εὔδηλον sine γὰρ Rob.

v. 1005. νέαι νέαι] νέα νέα Ald.

v. 1006. ναυβατᾶν] νάβατῶν Ald. νάυβατῶν Turn. ναυατᾶν Reg. A. unde Brunckius doricam terminationem sumsit.

v. 1008. τὸ γένος Περσῶν] γένος τὸ Περσῶν Guelf. Ald. Turn. Vict. Cant. τὸ γένος Περρῶν Rob. Brunck.

v. 1011. 1012. ad Xerxem referuntur Ald.

v. 1011. τί δ' οὖν;] Ita emendandum censui pro vulg. τί δ' οὐκ. Nam si vel maxime sic distinguatur: τί δ'; οὐκ ὄλωλε — Περσῶν; addito interrogandi signo post Περσῶν, incommoda tamen h. l. est interrogatio. Et librarii saepius pro οὖν dederunt οὐκ vel οὔ. ὄλωλεν μεγάλα] ὄλωλε μέγα Ald.

ΧΟΡΟΣ.

Ὁρῶ, ὁρῶ.

ΞΕΡΞΗΣ.

Τάνδι τ' ὀϊστοδέγμονα..

ΧΟΡΟΣ.

Τί τόδε λέγεις;

ΞΕΡΞΗΣ.

σεσωσμένον
Θησαυρὸν βέλεσι.

ΧΟΡΟΣ.

Βαιά γ' ὡς ἀπὸ πολλῶν.

ΞΕΡΞΗΣ.

Ἐσπανίσμεθ' ἀρωγῶν.

ΧΟΡΟΣ.

Ἰαόνων λαὸς οὐ φυγαίχμας.

ΞΕΡΞΗΣ.

Ἀγανόριος· κατεῖδον
Δὲ πῆμ' ἄελπτον.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1014. Verba τάνδι — θησαυρὸν βέλεσι absunt Ald. βέλεσι post θησαυρὸν omittitur Rob. σεσωσμένον — βέλεσι Choro adsignata Turn. σεσωσμένον ad Chori orationem refert Vict. Cant. τάνδι] τάνδε Turn.

v. 1017. Xerxi tribuitur Ald. Turn.

v. 1019. Post φυγαίχμας interrogandi signum Turn. Vict. Cant.

v. 1020. ἀγανόριος] ἀγανόρεος Rob.

v. 1021. δὲ πῆμ'] abest δὲ Rob.

ΧΟΡΟΣ.

Τραπέντα ναύφρακτον
Ἐρεῖς ὅμιλον;

ΞΕΡΞΗΣ.

Πέπλον δ' ἀπέῤῥηξ' ἐπὶ συμφορᾷ κακοῦ.

ΧΟΡΟΣ.

Παπαῖ, παπαῖ, παπαῖ, παπαῖ.

ΞΕΡΞΗΣ.

Καὶ πλεῖον ἢ παπαῖ μὲν οὖν.

ΧΟΡΟΣ.

Δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.

ΞΕΡΞΗΣ.

Λυπρά, χάρματα δ' ἐχθροῖς.

ΧΟΡΟΣ.

Καὶ σθένος γ' ἐκολούσθη.

ΞΕΡΞΗΣ.

Γυμνός εἰμι προπομπῶν·

ΧΟΡΟΣ.

Φίλων τ', ἄταισι ποντίαισι.

VARIETAS LECTIONIS.

v. 1022. ναύφρακτον] ναύφρακταν Ald.

v. 1024. ἀπέῤῥηξ'] ἐπέῤῥηξ' Ald. Rob. Turn. ἐπέῤῥηξά γ' Vict. Cant.

v. 1025. παπαῖ] παπαὶ παπαὶ Rob.

v. 1026. μὲν οὖν absunt Ald. μὲν οὗ Vit. Mosqu.

v. 1028. Choro tribuitur Ald. Turn. χάρματα] χαρίσματα Ald.

v. 1029. καὶ σθένος γ'] Ita Brunck. e Regg. Reliqui καὶ σθένος δ'. ἐκολούσθη] ἐκολούθη Ald.

v. 1031. Φίλων τ', ἄταισι] Φίλων ἄταισι Guelf. Rob. Turn. Vict. Cant.

ΞΕΡΞΗΣ.

Δίαινε, δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.

ΧΟΡΟΣ.

Αἶ αἶ αἶ αἶ, δύα, δύα.

ΞΕΡΞΗΣ.

Βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ.

Δόσιν κακὰν κακῶν κακοῖς.

ΞΕΡΞΗΣ.

Ἴυζε μέλος ὁμοῦ τιθείς.

ΧΟΡΟΣ.

Ὀττοττοτοῖ.

ΞΕΡΞΗΣ.

Βαρεῖά γ' ἅδε συμφορά.

ΧΟΡΟΣ.

Οἴμοι, μάλα καὶ τόδ' ἀλγῶ.

ΞΕΡΞΗΣ.

Ἔρεσσ' ἔρεσσε, καὶ στέναζ' ἐμὴν χάριν.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1033. αἶ bis tantum Rob.

v. 1034. βόα νυν] βόα νῦν Ald. Rob. Turn.

v. 1037. ὀττοττοτοῖ] ὀτοτοτοῖ ὀτοττοὶ Ald. Rob. ὀτοτοτοτοῖ Vict. Cant. ἅδε] Sic Viteb. Reg. A. ἆδ' ἃ Ald. Rob. Vict. Cant.

v. 1038. οἴμοι] οἶ Ald. Rob.

v. 1039. ἔρεσσ' ἔρεσσε] male Pauwius corrigebat ἄρασσ' ἄρασσε.

ΧΟΡΟΣ.

Διαίνομαι γοεδνὸς ὤν.

ΞΕΡΞΗΣ.

Βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ.

Μέλειν πάρεστι δέσποτα.

ΞΕΡΞΗΣ.

Ἐπορθίαζε νῦν γόοις.

ΧΟΡΟΣ.

Ὀττοττοτοῖ. μέλαινα δ' αὖ μεμίξεται
Στονόεσσα πλαγά.

ΞΕΡΞΗΣ.

Καὶ στέρν' ἄρασσε, κἀπιβόα τὸ Μύσιον.

ΧΟΡΟΣ.

Ἄνια, ἄνια.

ΞΕΡΞΗΣ.

Καί μοι γενείου πέρθε λευκήρη τρίχα.

VARIETAS LECTIONIS.

v. 1040. γοεδνὸς ὤν] γὲ ἐδνὸς ὢν Mosqu.

v. 1042. μέλειν] μέλλειν Ald. μέλει conj. Pauw.

v. 1044. μεμίξεται] additur μοι, illaque verba μέλαινα — μεμίξεταί μοι tribuuntur Xerxi, Ald. Rob. Turn. μεμίξεταί μοι καὶ στ. πλ. Vict. Cant. sub Xerxis persona. In Regg. abest καὶ, idque pariter ac μοι, quod e glossa in textum venit, recte Brunckius expunxit.

v. 1047. ἄνια ter repetitum Ald. Rob. Turn.

v. 1048. πέρθε] ὕπερθεν Ald. ὕπερθε Guelf. Turn.

ΧΟΡΟΣ.

Ἄπριγδ' ἄπριγδα, μάλα γοεδνά.

ΞΕΡΞΗΣ.

Αὔτει δ' ὀξύτονα.

ΧΟΡΟΣ.

Καὶ τάδ' ἔρξω.

ΞΕΡΞΗΣ.

Πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.

ΧΟΡΟΣ.

Ἄνια, ἄνια.

ΞΕΡΞΗΣ.

Καὶ ψάλλ' ἔθειραν, καὶ κατοίκτισαι στρατόν.

ΧΟΡΟΣ.

Ἄπριγδ' ἄπριγδα, μάλα γοεδνά.

ΞΕΡΞΗΣ.

Διαίνου δ' ὄσσε.

ΧΟΡΟΣ.

Τέγγομαί τοι.

ΞΕΡ-

VARIETAS LECTIONIS.

v. 1049. ἄπριγδ'] ἄπριγδα Mosqu.

v. 1051. καὶ τάδ' ἔρξω] Sic recte Brunck. e Regg. καὶ τάδε ἕξω Ald. καὶ τάδε ἔρξω Rob. Turn. Vict. Cant.

v. 1052. ἔρεικε κολπίαν] ἔρειδε κολπίαν Rob. ἔρεικ' ἐγκολπίαν Guelf. ἔῤῥεικε $κολπ^{ους}_{ίαν}$ sic Mosqu.

v. 1053. ἄνια ter Ald. Rob.

v. 1054. κατοίκτισαι] κατοίκτιζε Rob. Turn. Illud Brunckius eruit e Regg.

v. 1056. διαίνου δ' ὄσσε] δίαιν' ὄσσε Rob.

ΞΕΡΞΗΣ.

Βόα νυν ἀντίδουπά μοι.

ΧΟΡΟΣ.

Οἶ οἶ οἶ οἶ.

ΞΕΡΞΗΣ.

Αἰακτὸς ἐς δόμους κίε.

ΧΟΡΟΣ.

Ἰὼ ἰὼ Περσὶς αἶα δυςβαΰκτος.

ΞΕΡΞΗΣ.

Ἰωὰ δὴ κατ' ἄστυ.

ΧΟΡΟΣ.

Ἰωὰ δῆτα; ναί, ναί.

ΞΕΡΞΗΣ.

Γοᾶσθ' ἁβροβάται.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1059. οἶ ter Ald.

v. 1061. 1065. ἰὼ — δυςβαΰκτος] „Voces ἰὼ ἰὼ sunt extra versum, qui dimeter est trochaicus. Vulgo perquam absurde legitur δύςβατος. Reg. A. utroque in loco habet δύςβακτος, quod et hic B. exhibet, cum varia lectione δύςβατος, et glossa δυςθρήνητος, altero in loco praestat δυςβαΐκτος cum var. lect. δύςβακτος. E corruptis lectionibus non difficile erat sinceram eruere δυςβαΰκτος, quo refertur unice glossa δυςθρήνητος. Extat vox illa supra v. 572." Hactenus Brunckius; recte ille quidem et sapienter. At edd. omnes item Guelf. habent δύςβατος.

v. 1062. ἰωὰ] Sic Mosqu. Regg. hoc et sequenti versiculo recte pro vulg. ἰώ.

v. 1064. γοᾶσθ'] ἰὼ γοᾶσθ' Rob. Pro γοᾶσθ' ἁβροβάται Pauwio in mentem venit scribere γοᾶσθε προβάται.

ΧΟΡΟΣ.

Ἰὼ ἰώ, Περσὶς αἶα δυςβάϋκτος.

ΞΕΡΞΗΣ.

Ἢ ἢ ἢ ἤ, τρισκάλμοισιν,
Ἢ ἢ ἢ ἤ, βάρισιν ὀλόμενοι.

ΧΟΡΟΣ.

Πέμψω σε δυςθρόοις γόοις.

VARIETAS LECTIONIS.

v. 1066 ſq. ἢ] ter tantum Ald.

v. 1067. ὀλόμενοι] ὀλλομέναισι Rob. ὀλύμεν$^{οι}_{αι}$ ſic Moſqu.

v. 1068. πέμψω σε] πέμψω τοῖσε ſic Ald. πέμψω τοίσε Guelf. πέμψω ſine σε Rob.

ΑΙΣΧΥΛΟΥ

ΤΡΑΓΩΔΙΑ

ΑΓΑΜΕΜΝΩΝ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΦΥΛΑΞ.
ΧΟΡΟΣ πρεσβυτῶν Ἀργείων.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ΤΑΛΘΥΒΙΟΣ κήρυξ.
ΑΓΑΜΕΜΝΩΝ.
ΚΑΣΣΑΝΔΡΑ.
ΑΙΓΙΣΘΟΣ.

Προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.

ΑΙΣΧΥΛΟΥ

ΑΓΑΜΕΜΝΩΝ.

ΦΥΛΑΞ.

Θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων,
Φρουρᾶς ἐτείας μῆχος, ἣν κοιμώμενος
Στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
Ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
Καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
Λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι,
[Ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.]
Καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
Αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
Ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖν
Γυναικὸς ἀνδρόβουλον ἐλπίζω κέαρ.

Εὐτ'

VARIETAS LECTIONIS.

v. 2. μῆχος ἣν] μῆκος δ' ἣν Guelf. Ald. Rob. μῆκος ἣν Turn. etc. μῆχος dedimus ex emendatione Stanleji certissima.

v. 3. ἄγκαθεν] ἔγκαθεν Guelf. Ald.

v. 4. νυκτέρων] νεκτέρων Guelf. Ald. Rob.

v. 5. βροτοῖς] βροτοὺς Guelf.

v. 7. Hunc versum Valckenaer ad Eurip. Phoeniss. v. 506. recte spurium esse judicat; adscripsisse quendam Ἀστέρας ut glossema, inde alium forte addidisse ὅταν — τῶν.

ibid. ὅταν] ὅτ' ἂν Guelf. Ald. Rob.

v. 10. κρατεῖν] κρατεῖ Guelf. Rob. Turn.

v. 11. ἐλπίζω] ἐλπίζων Guelf. ἐλπίζον Rob. ἐλπίζει conj. Heath.

Εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
Εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην·
Ἐμήν, φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ,
Τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
Ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
Ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
Κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων,
Οὐχ, ὡς τὰ πρόσθ', ἄριστα διαπονουμένου.
Νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων
Εὐαγγέλου φανέντος ὀρφναίου πυρός. —
Ὦ χαῖρε λαμπτὴρ νυκτός, ἡμερήσιον
Φάος πιφαύσκων, καὶ χορῶν κατάστασιν
Πολλῶν ἐν Ἄργει τῆσδε συμφορᾶς χάριν.
Ἰού, ἰού.
Ἀγαμέμνονος γυναικὶ σημανῶ τορῶς,
Εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
Ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
Ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
Ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·

Αὐτός

VARIETAS LECTIONIS.

v. 13 ſq. ἐπισκοπουμένην ἐμὴν] Fruſtra Stanl. corrigebat ἐπισκοτουμένην· Ἐμοὶ —.

v. 14. ἐμὴν — παραστατεῖ] Fortaſſe leg. ἐμοὶ φόβος γὰρ ἀθλίῳ παραστατεῖ ex Aſtii, V. D. auditoris olim noſtri, conjectura.

v. 17. ἐντέμνων] Perperam Heathius reſcribi volebat ἐντείνων.

v. 19. διαπονουμένου] Stanlejus conj. διακονουμένου. Sed nihil mutandum.

v. 26. σημανῶ] σημαίνω Guelf. Ald. Rob. Turn.

v. 27. εὐνῆς] εὐνὴν Guelf. Ald.

v. 29. ἐπορθιάζειν] ἐπορθριάζειν Guelf. Ald. Rob.

v. 30. ἀγγέλλων πρέπει] Pauwius ſine cauſa corr. ἀγγέλλει πρέπων.

Αὐτός τ᾽ ἔγωγε φροίμιον χορεύσομαι.
Τὰ δεσποτῶν γὰρ εὖ πέσοντα θήσομαι
Τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
Γένοιτο δ᾽ οὖν μολόντος εὐφιλῆ χέρα
Ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
Τὰ δ᾽ ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας
Βέβηκεν· οἶκος δ᾽ αὐτός, εἰ φθόγγον λάβοι,
Σαφέστατ᾽ ἂν λέξειεν. Ὡς ἑκὼν ἐγὼ
Μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι.

ΧΟΡΟΣ.

Δέκατον μὲν ἔτος τόδ᾽, ἐπεὶ Πριάμου
Μέγας ἀντίδικος
Μενέλαος ἄναξ ἠδ᾽ Ἀγαμέμνων,
Διθρόνου Διόθεν καὶ δισκήπτρου
Τιμῆς, ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
Στόλον Ἀργείων χιλιοναύταν
Τῆσδ᾽ ἀπὸ χώρας
Ἦραν, στρατιῶτιν ἀρωγάν,
Μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη
Τρόπον αἰγυπιῶν, οἵτ᾽ ἐκπατίοις

Ἀλ-

VARIETAS LECTIONIS.

v. 39. κοὐ] καὶ οὐ Guelf. Ald.

v. 40. ἐπεὶ Πριάμου] ἐπεὶ Πριάμῳ Guelf. Ald. Rob. ἐπὶ Πριάμῳ Turn.

v. 44. Ἀτρειδᾶν] Sic Guelf. Ἀτρειδῶν Ald.

v. 45. χιλιοναύταν] Ἴλιον αὐτὰν pro V. L. affert Schol.

v. 47. στρατιῶτιν] Sic Guelf. στρατιώτιν Ald. Rob.

v. 48. κλάζοντες] In aliis teste Steph. κλάγξαντες.

Ἄλγεσι παίδων ὕπατοι λεχέων
Στροφοδινοῦνται
Πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι·
Δεμνιοτήρη
Πόνον ὀρταλίχων ὀλέσαντες·
Ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων
Ἢ Πάν, ἢ Ζεύς, οἰωνόθροον
Γόον ὀξυβόαν,
Τῶνδε μετοίκων ὑστερόποινον
Πέμπει παραβᾶσιν Ἐριννύν.
Οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
Ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς
Πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
Γόνατος κονίαισιν ἐρειδομένου,
Διακναιομένης τ' ἐν προτελείοις
Κάμακος, θήσων Δαναοῖσι,
Τρωσί θ' ὁμοίως. Ἔστι δ' ὅπη νῦν
Ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
Οὔθ' ὑποκλείων, οὔτ' ἐπιλείβων,
Οὔτε δακρύων ἀπύρων ἱερῶν

Ὀργὰς

VARIETAS LECTIONIS.

v. 50. ἄλγεσι παίδων] Sic Guelf. In Ald. corrupte ἀλγεπι ποδῶν. ἀλγέσσι ποδῶν Turn.

v. 63. γυιοβαρῆ] γαιοβαρῆ Turn.

v. 69. ὑποκλείων] Sic Turn. ὑποκλέων Guelf. ὑποκλίων Ald. In his latere videtur ὑποκλείων. ὑποκλαίων Vict. Cant. Stanlej. ὑποκλάζων conj. Pauw.

v. 70. δακρύων] δακεύων, vitiose, ut alia plurima, quae enotare nihil attinet, Ald. δοκεύων Turn. διὰ τῶν conj. Arnald. quod minime ferendum.

Ὀργὰς ἀτενεῖς παραθέλξει.
Ἡμεῖς δ' ἀτῖται σαρκὶ παλαιᾷ
Τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
Μίμνομεν, ἰσχὺν
Ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
Ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
Ἐντὸς ἀνάσσων
Ἰσόπρεσβυς, ἄρης δ' οὐκ ἔνι χώρᾳ·
Τό θ' ὑπέργηρων, φυλλάδος ἤδη
Κατακαρφομένης, τρίποδας μὲν ὁδοὺς

VARIETAS LECTIONIS.

v. 71. ἀτενεῖς] Abreſchius vel ἀθετεῖς ſcriptum fuiſſe, ut παραθέλξει dativus, non verbum eſſet, hoc ſenſu: *neque quisquis es irritas feceris iras delinimentis ſacrorum igne carentium*; vel ἀτεγγεῖς legendum ſuſpicabatur; utraque conjectura prorſus inutilis.

v. 72. ἀτῖται] Sic Guelf. Ald. Turn. recte. Vulg. ἀτῖτᾳ.

v. 76. ὅ, τε]! ὅτε Guelf. Ald. Rob.

v. 77. ἀνάσσων] ex emendatione Hermanni ad Ariſt. Nubb. v. 974. Vulgo ἀνάσσων.

v. 78. ἄρης δ' οὐκ ἔνι χώρᾳ] Sic Guelf. Ald. Rob. Stanl. conj. ὅ τε — ἰσοπρέσβυς, ἄρης δ' οὐκ ἔνι χώρᾳ. le Grand, in ſpecimine obſſ. in Agamemn. corrigit: ἄρης οὐκ ἔνι δ'· ὥρᾳ τόθ' ὑπέργηρον. Heynius, illius libelli cenſuram agens in Ephemeridibus liter. Goettingenſibus (1778. 39. St. p. 308.). malebat ἄρης οὐκ ἔνι γ' ὥρᾳ.

v. 79. τό θ' ὑπέργηρων] τίθι περ γήρως mendoſe Guelf. Ald. Rob. φυλλάδος] φυγάδος Guelf. φυλάδος Ald.

Στείχει, παιδὸς δ' οὐδὲν ἄρειον
    Ὄναρ ἡμερόφαντον ἀλαίνει.
        Σὺ δέ, Τυνδάρεω
Θύγατερ, βασίλεια Κλυταιμνήστρα,
Τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη,
    Τίνος ἀγγελίας
Πειθοῖ περίπεμπτα θυοσκινεῖς;
Πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
    Ὑπάτων, χθονίων,
[Τῶν τ' οὐρανίων, τῶν τ' ἀγοραίων]
    Βωμοὶ δώροισι φλέγονται·
Ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
    Λαμπὰς ἀνίσχει
Φαρμασσομένη χρίσματος ἁγνοῦ
Μαλακαῖς ἀδόλοισι παρηγορίαις,

Πε-

VARIETAS LECTIONIS.

v. 81. ἄρειον] ἀρείων Guelf. Rob. ἀρείστων Ald.

v. 82. ἡμερόφαντον] ἡμερόφατον Rob.

v. 83. Pauwius, quia periodus a Monometro incipit, ſic legendum eſſe cenſebat:

Σὺ δὲ τυνδάρεω θύγατερ, βασιλίς,
Κλυταιμνήστρα, τί χρέος, τί νέον;

ſed recte Heathius, nec illud inſolitum eſſe, et Κλυταιμνήστρα primam corripere monuit.

v. 87. περίπεμπτα θυοσκινεῖς] περίπεμπτα θυοσκεῖς in mentem venerat Stanlejo; ſic tamen ut a vulgata recedendum non putaret.

v. 90. inſititium eſſe recte exiſtimat Heath. Ita certe multo melius, quam Pauwii ratione locum expediveris.

v. 91. δώροισι] δώροις Ald.

v. 94. χρίσματος] χρήματος Ald. χρίματος Rob.

Πελάνῳ μυχόθεν βασιλείῳ.
Τούτων λέξασ' ὅ τι καὶ δυνατὸν,
Καὶ θέμις αἰνεῖν,
Παίων τε γενοῦ τῆσδε μερίμνης,
Ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει·
Τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ'
Ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον,
Τὴν θυμόβορον φρένα λύπην. ⁂

στροφή. Κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν
Ἐντελέων· ἔτι γὰρ θεόθεν καταπνείει
Πειθὼ μολπὰν,
Ἀλκᾶ ξύμφυτος αἰέν·

 Ὅπως

VARIETAS LECTIONIS.

v. 97. λέξασ'] Sic Guelf. Rob. λέξ' Ald. Turn.

v. 100. τοτὲ μὲν] ἔσθ' ὅτε μὲν Guelf. εὐθ' ὅτε μὲν Ald. vitio typogr.

v. 101. ἀγανὰ φαίνουσ'] ἀγανὰ φαίνεις Guelf. Idem Ald. nisi quod typotheta sic corrupit: ἄγαν ἀφαίνεις. In Rob. est φανεῖσ'. Pauwius conj. vel ἀγάν' ἐμφαίνουσ', vel ἀγανὰ φανθεῖσ'.

v. 102. ἄπληστον] ἄπλειστον Guelf. Ald. Rob.

v. 103. τὴν θυμόβορον φρένα λύπην] τὴν θυμόφθορον λύπης φρένα Guelf. Ald. Rob. τὴν θυμοβόρον λύπης φρένα Vict. Cant. Nos Heathii emendationem recepimus.

v. 104. αἴσιον] Asclepiades apud Schol. Aristoph. in Ran. leg. ὅσιον.

v. 105. ἐντελέων] Heathii ingenio debetur. Vulg. ἐκτελέων. καταπνείει] καταπνέει Rob.

v. 106. πειθὼ μολπὰν] Heathius em. πειθὼ μολπᾷ.

v. 107. ἀλκᾶ ξύμφυτος αἰέν] Ita rescripsimus pro vulg. ἀλκὰν σύμφυτος αἰών, quod sensu prorsus caret. Cf. Commentar. ἄλκαν σύμφυ-

Ὅπως Ἀχαιῶν
Δίθρονον κράτος, Ἑλλάδος ἥβας
Ξύμφρονα ταγὰν,
Πέμπει ξὺν δορὶ καὶ χερὶ πράκτορι
Θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν.
Οἰωνῶν βασιλεὺς
Βασιλεῦσι νεῶν, ὁ κελαινὸς,
Ὅ τε τοὐξόπιν ἀργὸς,
Φανέντες ἴκταρ
Μελάθρων χερὸς ἐκ δοριπάλτου
Παμπρέπτοις ἐν ἕδραισι
Βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν,

Βλα-

VARIETAS LECTIONIS.

τον, αἴων conj. Heath. In quo si ἄλκαν σύμφυτον verum esset, magis tamen placeret ἄδων.

v. 109. ἥβας] Ita necessarium fuit auctore Stanl. emendare pro vulg. ἥβαν, quamquam et Aristophanes habet ἥβαν ejusque Schol. legisse videtur ἀκμήν.

v. 110. ταγὰν] τὰν γὰν Guelf. Rob. τὰν γᾶν Ald. scribendi vitio. τάγοιν conj. Heath.

v. 111. πέμπει ξὺν δορὶ καὶ χερὶ πράκτορι] Sinceram hanc lectionem antiquissimus auctor Aristophanes nobis conservavit in Ranis v. 1323. πέμπει σὺν δορὶ δίκας πράκτορι Guelf. Ald. πέμπῃ σ. δ. δ. πρ. Rob. Sed δίκας metrum non fert; πέμπῃ a sensu est alienum.

v. 118. παμπρέπτοις] hoc pro vulg. παμπρέποις reponendum vidit Abreschius, metrum enim postulat.

v. 119. ἐρικύμονα φέρματι] ἐρ' ἰκύματα φέρματι Ald. mendose. ἐρικύματα φέρματι Guelf. Rob. ἐρικύματα φέρματα Turn. ἐρικύμονα φέρβοντο γένναν Vict. etc. Pauwio videbatur legendum vel κείροντο γένναν, vel κέρματι γένναν. Utrumque inepte.

Βλαβέντα λοισθίων δρόμων.
Αἴλινον, αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.
ἀντιστρ. Κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς
Ἀτρείδας μαχίμους, ἐδάη λαγοδαίτας,
Πομποῖς δ' ἀρχοῖς
Οὕτως εἶπε τεράζων·
Χρόνῳ μὲν ἀγρεῖ
Πριάμου πόλιν ἅδε κέλευθος,
Πάντα δὲ πύργων
Κτήνη πρόσθε τὰ δημιοπληθῆ
Μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
Οἷον μή τις ἄτα
Θεόθεν κνεφάσῃ προτυπεῖσα
Στόμιον μέγα Τροίας
Στρατευθέν. οἴκτῳ
Γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ
Πτανοῖσι κυσὶ πατρὸς
Αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν·

VARIETAS LECTIONIS.

v. 122. δισσοὺς] Injuria hoc ſollicitat Cant. corrigens δισσοῖς.

v. 124. ἀρχοῖς] ἀρχὰς Guelf. Ald. Rob.

v. 129. πρόσθε τὰ] προσθετὰ conj. Pauw. δημιοπληθῆ] δημοπλήθη Turn.

v. 131. οἷον] οἶον Ald. Rob.

v. 132. προτυπεῖσα] Sic edendo metro pariter ac ſenſui conſuluiſſe me ſpero. προτυπὲς Guelf. Ald. προτυπὲν Rob. etc. Heathius ita corrigebat, ut metro ſubveniret:

Θεόθεν κνεφάσῃ προτυπὲν
στόμιον μέγα τῆς Τροίας.

v. 134. στρατευθὲν] στρατωθὲν Guelf. Ald. Rob.

ἀντιστρ. α'. Οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
Παμμάχῳ θράσει βρύων,
Οὐδὲν ἂν λέξαι πρὶν ὤν.
Ὃς δ' ἔπειτ' ἔφυ, τρια-
κτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως
Ἐπινίκια κλάζων
Τεύξεται φρενῶν, τὸ πᾶν·
στροφὴ β'. Τὸν φρονεῖν βροτοὺς ὁδώ-
σαντα, τὸν πάθη μάθος
Θέντα κυρίως ἔχειν.
Στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
Μνησιπήμων πόνος καὶ
Παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
Δαιμόνων δέ που χάρις
Βίαια σέλμα σεμνὸν ἡμένων.

Καὶ

VARIETAS LECTIONIS.

v. 174. οὐδὲν ἂν λέξαι.] Pro τι posui ἂν, quod in omnibus abest, metro et sententia requirente. Pauwius, quia in Turn. est πρὶν ἂν, corrigebat οὐδὲ ἓν λέξαι πρὶν ἂν, inconcinna sane structura verborum, ineptiore etiam sensu: *Novi qui modo erat magnus, omnigena audacia scatens; ne verbum quidem mutiisse olim, ut vero postea evasit, periit superiorem nactus.* Non magis Abreschii ratio probanda: οὐδὲ λέξαι (scil. ἔχω) τι πρὶν ὄν.

v. 180. τὸν] τῷ Rob. βροτοὺς] βροτοῖς Ald. Rob.

v. 181. τὸν πάθη] τῷ πάθει Ald. μάθος] μάθ$^{ος}_{ας}$ sic Guelf. μάθαν post Canterum praefert Stanl. Arnaldo autem in mentem venit τῷ παθεῖν μαθεῖν. Pro πάθει dedi πάθη.

v. 183. πρὸ] πρὸς Turn.

v. 186 sq. χάρις βίαια] χάρις βίαιος Turn. Vulg. χ. βιαίως.

ἀντιστρ. β'. Καὶ τόδ' ἡγεμὼν ὁ πρέ-
σβυς νεῶν ἀχαιϊκῶν,
Μάντιν οὔτινα ψέγων,
Ἐμπαίοις τύχαισι συμπνέων,
Εὖτ' ἀπλοίᾳ κεναγγεῖ
Βαρύνοντ' Ἀχαιϊκὸς λεώς,
Χαλκίδος πέραν ἔχων
Παλιρρόθοις ἐν Αὐλίδος τόποις,

στροφὴ γ'. Πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
Κακόσχολοι, νήστιδες, δύσορμοι,
Βροτῶν ἆλαι, νεῶν τε
Καὶ πεισμάτων ἀφειδεῖς,
Παλιμμήκη χρόνον τιθεῖσαι
Τρίβῳ, κατέξαινον ἄνθος Ἄργεος·
Ἐπεὶ δὲ καὶ πικροῦ
Χείματος ἄλλο τι μῆχαρ
Βριθύτερον πρόμοισι
Μάντις ἔκλαγξε, προφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκτροις
Ἐπικρούσαντας Ἀτρείδας
Δάκρυ μὴ κατασχεῖν·

ἀντιστρ. γ'. Ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν·
„Βαρεῖα μὲν κήρ, τὸ μὴ πιθέσθαι·

Βα-

VARIETAS LECTIONIS.

v. 191. ἐμπαίοις] ἐκπαίοις Ald.

v. 201. κατέξαινον] κατέξανον Vict. Cant. Ἄργεος autem pro vulg. Ἀργείων metrum antiſtrophici poſcebat.

v. 203. ἄλλο τι] inſerui τι metri cauſa.

v. 209. τόδ'] Melius fortaſſe ut Stanl. cenſuit, reponatur τότ', ut reſpondeat τῷ ἐπεὶ v. 206.

v. 210. πιθέσθαι] Ita re-

Βαρεῖα δ', εἰ τέκνον δα-
ΐξω, δόμων ἄγαλμα,
Μιαίνων παρθενοσφάγοισι
Ῥείθροις πατρῴους χέρας, βωμοῦ πέλας.
Τί τῶνδ' ἄνευ κακῶν;
Πῶς λιπόναυς δὲ γένωμαι,
Ξυμμαχίας ἁμαρτών;
Παυσανέμου γὰρ θυσίας
Παρθενίου θ' αἵματος ἀρχὰς
Περιόργως ἐπιθυμεῖν
Θέμις· εὖ γὰρ εἴη.»

Ἐπεὶ

VARIETAS LECTIONIS.

ete ob metrum pro vulg. πείθεσθαι emendavit Henr. Jacob, cujus quasdam emendationes ad oram editionis Canterianae notatas oculis usurpavit Stanl.

v. 214. πατρῴους] πατρῴοις Guelf. Ald. Hunc versiculum antithetico parem effecimus, nulla verborum aut ordinis eorum mutatione facta, sed meliore tantum versiculorum dispositione usi. Est autem hic pariter ac strophicus oppositus Τρίβῳ κατέξαινον ἄνθος Ἀργέος, Asynartetus ex Jambico monometro, et hepthemimeri trochaica.

v. 215. τί τῶνδ' ἄνευ κακῶν] τί τῶνδ' ἄνευ κακῶν; τί; Guelf. Ald. Rob. Turn. Vict. etc. Sed repetitum τί, quo facile caremus, oppositi in strophe versus mensura non admittit.

v. 216. πῶς λιπόναυς] Sic Rob. recte. Nam λειπόναυς antithetici versus metrum respuit. Versus est trimeter dactyl. τί πως λιπόναυς Turn. πῶς λειπόναυς Vict. etc. δὲ] τε Guelf. Ald. etc. pro quo δὲ substituimus, verborum connexioni aptius.

v. 219–221. Παρθενίου — ἀρχὰς περιόργως ἐπιθυμεῖν θέμις] Stanlejo legendum videbatur ὀργᾷ περιόργως τ' ἐπιθυμεῖ Ἄρτεμις. Verum

στροφὴ δ'. Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον,
Φρενὸς πνέων δυσσεβῆ τροπαίαν
Ἄναγνον, ἀνίερον,
Τόθεν τὸ παντότολμον
Φρονεῖν μετέγνω
Βροτούς· θρασύνει γὰρ αἰσχρόμητις
Τάλαινα παρακοπὰ πρωτοπήμων·

Ἔτλα

VARIETAS LECTIONIS.

θέμις non est sollicitandum. Si vitiosus est locus, vitium latet in ὀργᾷ περιόργως; quod sane sic tolli possit, si legatur, ἀρχὰς περιόργως ἐπιθυμεῖν θέμις; vel hoc modo: παρθενίου θ' αἵματος ὀργᾷν, περιόργως τ' ἐπιθυμεῖν (scil. τοὺς ξυμμάχους) θέμις. Ceterum pro ἐπιθυμεῖν le Grand conj. ἀποθυμεῖν, quod minime placet.

v. 224. 225. ἀνίερον, τόθεν] ἀνίερόν θ' ὅθεν Turn. ὅθεν quoque cum Schol. praeferendum existimabat Stanl, τὸ παντότολμον] τὸ πάντολμον Vict.

v. 227. βροτοὺς] βροτοῖς Guelf. Ald. Rob. Turn. Vict. Minime vero audiendus est Pauwius, locum sic refingens: οὐ τότε vel οὔ ποτε τὸ παντότολμον Φρονεῖν μετέγνω βροτός· quod ille quidem sic vertit: *Nihil adeo facinorosum est, quod meditari noluit mortalis*, sed ut vere judicat Heathius, praeter verborum eorumque structurae indolem. Vertere enim potius debuerat: *Non tunc audaciae ad omnia promtae poenituit mortalem.* Heathius tamen ipse parum feliciter sic eundem locum constituit: Τόθεν τὸ παντότολμον Φρονεῖν μὲν ἔγνων βροτοῖς, hoc sensu: *Inde animum ad omnia audacem ac promtum mortalibus venire observavi.* Nihil autem mutandum esse, praeter βροτοῖς in βροτούς, in Commentario docuimus.

v. 227. 228. Heathius ita constituit:

αἰσχρόμητις γὰρ θρασύνει
τάλαινα παρακοπὰ πρωτοπήμων.

Ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρός,
Γυναικοποίνων πολέμων ἀρωγάν, 230
Καὶ ναῶν προτέλεια·
Λιτὰς δέ, κληδόνας πατρῴους,
Παρ' οὐδὲν αἰῶνά τε
Παρθένιον ἔθεντο δὴ

Φιλό-

VARIETAS LECTIONIS.

ita ut prior sit trochaicus dimeter; et αἰσχρόμητις pro ἡ αἰσχρόμητις. Verum nec articulo hic opus est, nec transpositione; nam si versiculi 230, 231. sic, ut fecimus, dividantur:

Φρονεῖν μετέγνω
βροτούς· θρασύνει γὰρ αἰσχρόμητις.

prior est jamb. monometer hypercatal., posterior asynartetus ex penthemimerr. jambicis.

v. 230. γυναικοποίνων πολέμων ἀρωγὰν] γυναικοποίνω πολέμῳ ἀρωγὸν Turn. γυναικοποίνων πολεμῶν ἀρωγὰ conj. Pauw. male.

v. 231. προτέλεια] προτελείῳ Guelf. Ald. Turn. In ceteris καὶ προτελεία ναῶν· prorsus ἀμέτρως. Transpositione efficitur versus anapaestic. monometer hypercatal.

v. 232. Λιτὰς δέ, κληδόνας πατρῴους] Vulgatum in omnibus Edd. λιτὰς δὲ καὶ κληδόνας πατρῴους. Verum copulam καὶ, quae hic necessaria non est, ut expungeremus versus antithetici mensura nobis persuasit. Uterque enim v. 236. et 249. est jamb. dimeter hypercatal.

v. 233. παρ' οὐδὲν αἰῶνά τε] τε abest in Guelf. Ald. Rob. Turn. et ceteris. Id autem addendum esse vere judicavit Stanl. Nam et metrum et sententiam fulcit. Versus est periodus catalectus, sicut antistrophicus, πρέπουσα δ' ὡς ἐν γραφαῖς.

v. 234. ἔθεντο δὴ] Particulam δή, non versus tantum explendi causa, sed quia sententiam quoque ornat, Heathio auctore, ad-

Φιλόμαχοι βραβῆς

— — — — — —

ἀντιστρ. δ'. Φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν
Δίκαν χιμαίρας ὕπερθε βωμοῦ
Πέπλοισι περιπετῆ.
Παντὶ σθένει προνωπῆ
Λαβεῖν ἀέρδην,
Στόματος δὲ φύλακας τοῦ καλλιπρώρου
Φθόγγον κατασχεῖν ἀραῖον οἴκοις,

Βίᾳ

VARIETAS LECTIONIS.

didimus. Sic versus est hepthemimeres trochaicus, et antistrophico bene respondet. Ceterum post sequentem versum excidisse unum, qui ultimo Antistrophes versiculo responderet, facile patet.

v. 237. ὕπερθε] ὕπερθεν Vict. metro adversante.

v. 238. περιπετῆ] περιπετεῖ Ald.

v. 239. παντὶ σθένει] Sic rescripsimus pro vulg. παντὶ θυμῷ, quod nec ad sensum satis placet, et metrum aperte turbat, propter longitudinem primae syllabae in θυμῷ, quae spondeum efficit; cum iambus requiratur. Heathii vero transpositio παντὶ προνωπῆ θυμῷ cum per se parum idonea, tum necessaria non est, quia ejusdem oppositi strophes versiculi mutationem inutilem esse docuimus.

v. 241. 242. στόματος δὲ φύλακας τοῦ καλλιπρώρου φθόγγον κατασχεῖν ἀραῖον οἴκοις] στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις Guelf. στόματός τε καλλιπρώρου φυλακὰγκατασχεῖν φθόγγον ἀραῖον οἴκοις Ald. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις Rob. στόματός τε καλλιπρώρου φύλαχ' ἀγκατασχεῖν φ. ἀ. οἴκοις Turn. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν

Βίᾳ χαλινῶν, ἀναύδῳ τε μένει.
Κρόκου βαφὰς δ' ἐς πέδον χέουσ' ἕ-
καστον ἔβαλε θυτήρων
'Απ' ὄμματος βέλει φιλοίκτῳ,
Πρέπουσα δ', ὡς ἐν γραφαῖς,

Προς-

VARIETAS LECTIONIS.

φθόγγον ἀραῖον οἴκοις Vict. etc. Pauwius ita ordinabat:

— — στόμα-
τος δὲ καλλιπρώρου φύλακα
φθόγγον κατασχεῖν ἀραῖον
οἴκοις.

Heathius autem hoc modo:

— — στόμα-
τός τε φυλακὰν καλλιπρώ-
ρου
κατασχεῖν, φθόγγον οἴκοις
ἀραῖον.

Nos mediam inter utrumque rationem amplexi concinniorem effecimus sententiam, et metro facilius consuluimus. φύλακας etiam pro φυλακὰν ambiguitatis vitandae causa reposuimus; denique articulum ante καλλιπρώρου inserendum duximus non magis metri, quam structurae verborum causa. Cf. comm. ad h. l.

v. 243. χαλινῶν] Frustra Stanl. corr. χαλινοῖν. Ceterum in omnibus est edd. et Guelf. Βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει, qua in lectione transpositionem particulae τε metrum requirit.

v. 244. χέουσ'] χέουσα Guelf. Ald.

v. 245. ἔβαλε] ἔβαλλ' Rob. Turn. Vulgo sic ordinantur verba: ἔβαλ' ἕκαστον θυτήρων; concinnius autem est ἕκαστον ἔβαλε θυτήρων, quo efficitur anapaest. dim. brachycatal. strophico respondens. Ceterum hos versus Heathius ita constituit:

κρόκου βαφὰς δ' ἐς πέδον
χέουσα
ἔβαλ' ἕκαστον θυτήρων
ἀπ' ὄμματος μὲν βέλει φι-
λοίκτῳ.

sed illud μὲν intrusum hic valde friget; et quod ad metrum attinet, nihil eo opus est, si nostram rationem sequaris.

Προσενέπειν θέλουσ᾽ ἐπεὶ
Πολλάκις πατρὸς
Κατ᾽ ἀνδρῶνας εὐτραπέζους ἔμελψεν,
στροφὴ έ. Ἁγνᾷ δ᾽ ἀταύρωτος
Αὐδᾷ πατρὸς φίλου τρίσπονδον εὔποτμον
Αἰῶνα φίλως ἐτίμα

Τὰ

VARIETAS LECTIONIS.

v. 251. προσένέπειν] προσεννέπειν Guelf. Ald. Rob. Vict. Illud metro convenit. Strophicus enim huic oppositus dimeter trochaicus est.

v. 250. ἔμελψεν] ἔμελθεν Guelf. Ald. Rob. ἔμελλεν Turn.

v. 251–253. Hunc locum non erat cur mutandum esse suspicarentur Pauwius et Heathius. Ille quidem corrigebat: Ἀγνὰ δ᾽ ἀταύρωτος Αὐδᾷ πατρὸς φίλου Τριτόσπονδον εὔποτμον, Ἀγῶν᾽ ἐτίμα φίλως, q. d. *Casta vero viri expers, jussu patris chari, felicem agonem post tertiam libationem honorabat amice;* quo nihil durius excogitari potest; hic autem hoc modo: Ἁγνὰ δ᾽ ἀταύρωτος, Αὐδᾷ πατρὸς φίλου τριτόσπονδον πότμον, Αἰῶν, ἐτίμα φίλως. *Virgo autem viri expers ex patris chari voce, fatum suum esse, ut post tertiam libationem moreretur, audiens, honorabat amice.* Utrumque fefellit, quod haec verba, quae ad cantus olim inter patris scyphos ab Iphigenia celebratos pertinent, ad ejus immolationem traherent. Itaque hic omnia salva sunt, nisi quod pro ἁγνὰ correximus ἁγνᾷ, ut cum αὐδᾷ construatur.

v. 252. αὐδᾷ] αὐδὰ Turn. τρίσπονδον] Rectius ita scribendum, quam vulg. τριτόσπονδον, quod metrum non capit.

Τὰ δ' ἔνθεν οὐκ οἶδα γ' οὔτ' ἐννέπω·
Τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν
Ἐπιῤῥέπει τὸ μέλλον.
ἀντιστρ. ε'. Τὸ δὲ προκλύειν, ἐπεὶ
Οὔπω γένοιτ' ἂν ἡ λύσις, προχαιρέτω.
Ἴσον δὲ τὸ προστενάζειν.
Τορὸν γὰρ ἥξει ξύναρθρον ἄταις.

Πέ-

VARIETAS LECTIONIS.

v. 254. τὰ δ' ἔνθεν οὐκ οἶδα γ' οὔτ' ἐννέπω] Sic rescripsi pro vulg. τὰ δ' ἔνθεν οὐκ εἶδον, οὔτ' ἐννέπω, quae neque metro antistrophici respondent, nec sensum satis aptum praebent, quod in Commentario demonstravimus.

v. 255. ἄκραντοι] ἄχραντοι Turn.

v. 257. ἐπιῤῥέπει] Heathius, ut hic versus antithetico respondeat, eum ita supplendum censet, ut legatur ἐπιῤῥέπει δὴ τὸ μέλλον, quae tamen particula, ne hic prorsus otiosa sit, vereor.

v. 259. οὔπω γένοιτ'] ἐπιγένοιτ' Ald. Rob. ἐπεὶ γένοιτ' Turn. Vict. ἡ λύσις] ἤλυσις corrupte Guelf. Ald. κλύσις Rob. ἡ λύσις Turn. Vict. etc. Stanlejus vel ἤλυσις legendum, (quod quia sequenti ἥξει aptius est, praetulimus,) vel ἐπεὶ οὐ γένοιτ' ἂν ἡ λύσις reponendum esse arbitrabatur. Heathius vero; τὸ δὲ προκλύειν, ἐπεὶ οὔπω γένοιτ' ἂν ἡ λύσις, προχαιρέτω. Arnaldus denique: τὸ δὲ προκλύειν ἐπεὶ οὐ γένοιτ' ἡ 'λυξις Προχαιρέτω.

v. 260. ἴσον δὲ τὸ προστενάζειν] Vulg. ἴσον δὲ τῷ προστένειν, in quo metrum conciliari nequit cum strophici oppositi mensura.

v. 261. ξύναρθρον ἄταις] σύνορθον αὐταῖς Guelf. Ald. Rob. σὺν ὀρθὸν αὐταῖς Turn. σύναρθρον αὐταῖς Vict. etc.

Πέλοιτό δ' οὖν τἀπὶ τούτοις εὔπρα-
ξις, ὡς θέλει τόδ' ἄγχιστον Ἀπίας
Γαίας μονόφρουρον ἕρκος.

ΧΟΡΟΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΧΟΡΟΣ.

Ἥκω σεβίζων σόν, Κλυταιμνήστρα, κράτος·
Δίκη γάρ ἐστιν φωτὸς ἀρχηγοῦ τίειν
Γυναῖκ', ἐρημωθέντος ἄρσενος θρόνου.
Σὺ δ' εἴτε κέδνον, εἴτε μὴ πεπυσμένη,
Εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
Κλύοιμ' ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία,
Ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
Πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν.
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.

ΧΟΡΟΣ.

Πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.

VARIETAS LECTIONIS.

v. 262. πέλοιτο] πέλοι Rob. τούτοις] τούτοισιν Ald. Turn.

v. 263. Metri caussa sic scribendum putabat Heath.: — ξις, ὡς τόδε θέλει γ' ἄγχιστον ἀπίας.

v. 265. ἥκω] Ineptissime ista et quae sequuntur Chori verba Ἀγγέλῳ tribuuntur in Turn. Vict. Melior personarum designatio Stanlejo debetur.

v. 267. ἄρσενος] ἀρσένου Guelf. Ald. Turn.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιῶν οὖσαν, ἦ τορῶς λέγω;

ΧΟΡΟΣ.

Χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Εὖ γὰρ φρονοῦντος ὄμμα σου κατηγορεῖ.

ΧΟΡΟΣ.

Τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ.

ΧΟΡΟΣ.

Πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.

ΧΟΡΟΣ.

Ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Παιδὸς νέας ὥς, κάρτ' ἐμωμήσω φρένας.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 278. φρονοῦντος] Pessimam lectionem φρονούσης invexerunt Steph. et Cant. e correctione, quia nimirum haec verba non Clytaemnestrae, sed Ἀγγέλῳ perperam adsignabantur.

v. 280. ἔστιν· τί δ' οὐχί;] ἐστὶ τάδ' οὐχὶ Turn.

v. 281. σέβεις] Stanl. λέγεις male.

v. 283. ἄπτερος] εὔπτερος dedit Turn.

ΧΟΡΟΣ.

Ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης, λέγω.

ΧΟΡΟΣ.

Καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
Φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς
Ἔπεμπεν. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ φανὸν ἐκ νήσου τρίτον
Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
Ὑπερθ' Ἕλλης γε πόντον ὥστε νωτίσαι

 Ἰσχὺς

VARIETAS LECTIONIS.

v. 287. ἀγγέλων] Posset etiam legi ἀγγέλλων, vel ἀγγελῶν, ut observat Stanl. Nihil tamen opus est vulgatam mutari.

v. 289. ἀγγάρου] Haec vera est lectio. Vulg. ἀγγέλου. Cf. Commentar.

v. 291. φανὸν] „Glossema forsan est, quod in textum irrepsit; nam Athenaeus legisse videtur πανόν. Quippe cum Menandrum et Diphilum lychnum πανὸν vocasse dixisset, addit lib. XV. c. 20.: Πρότερος δὲ τούτων Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ· ἐχρῶντο δὲ αὐτῷ ὡς λαμπάδι." Stanl.

v. 293. ὕπερθ' Ἕλλης γε πόντον] ὑπερτελής τε πόντον Ald. ὕπερθ' Ἕλλης τε πόντον Rob. ὑπερτελής τε πόντον Turn. Ἕλλης ὑπέρ τε πόντον conj. Pauw. ὑπὲρ Ἕλης τε πόντον Vict. Stanl. Heathio verbum νωτίζειν h. l. displicet. „Praeterea particula copulativa τε, inquit, nihil hic connectit, sed constructionem turbat, saltem otiosa est. Porro codices,

Ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἐκδοχὴν,
Πεύκης, τὸ χρυσοφεγγὲς, ὥς τις ἥλιος,
Σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
Ὁ δ᾽ οὔτι μέλλων, οὐδ᾽ ἀφραδμόνως ὕπνῳ
Νικώμενος παρῆκεν ἀγγέλου μέρος·
Ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ᾽ Εὐρίπου ῥοὰς
Μεσαπίου φύλαξι σημαίνει μολόν.
Οἱ δ᾽ ἀντέλαμψαν, καὶ παρήγγειλαν πρόσω,
Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
Σθένουσα λαμπὰς δ᾽ οὐδέπω μαυρουμένη,

Ὑπερ-

VARIETAS LECTIONIS.

ut puto, omnes aut ὑπερθ᾽ aut ὑπερτ᾽ habent, nullus ὑπείρ. Ita igitur veram ſcripturam reſtitui poſſe conjicio:

Ὑπερθ᾽ Ἕλλης γε πόντου ὥςτε φωτίσαι.

Ὑπερθε hic adverbialiter praeponitur, et accuſativus πόντον pendet a verbo φωτίσαι. Neque quemquam ſollicitum habeat metri ratio; vocalem enim brevem ante duplicem λ interdum corripere Atticos oſtendimus ad Sophocl. Oedip. Tyr. v. 475. et Philoctet. 1220." Hactenus ille, cui de reliquis aſſentimur, vocabuli νωτίσαι vero correctionem non concedimus.

v. 294. ἐκδοχὴν] Sic correxi vulg. ἡδονήν.

v. 295. πεύκης] Vulg. πεύκη.

v. 296. σκοπαῖς] σκοπᾶς al. teſte Steph.

v. 297. ἀφραδμόνως] ἀφράσμων ὡς Turn. Reliqui ἀφρασμόνως. Nobis vero Attica forma verior videbatur, quam et in Perſis v. 417. occurrere, jam Stanl. obſervavit.

v. 300. φύλαξι] φύλαξ Rob. μολὸν] Vulg. μολών.

v. 301. ἀντέλαμψαν] ἀντ᾽ ἔλαμψαν Ald.

v. 303. μαυρουμένη] ᾽μαυρουμένη Rob.

Ὑπερθοροῦσα πεδίον Ἀσώπου, δίκην
Φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
Ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
Φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
Φρουρά, πλέον καίουσα τῶν εἰρημένων.
Λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος,
Ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον
Ὤτρυνε θεσμὸν μὴ χατίζεσθαι πυρός.
Πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
Φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
Πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλει πρόσω
Φλέγουσα· κᾆτ' ἔσκηψεν, ἐς τ' ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
Κἄπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος

VARIETAS LECTIONIS.

v. 304. πεδίον Ἀσώπου] παιδίον ὦπου Guelf. Ald. Rob. πεδίον Ὠρωποῦ Turn.

v. 311. μὴ χατίζεσθαι] μὴ χαρίζεσθαι Guelf. Ald. etc. pro quo Stanl. vel μοι χαρίζεσθαι, vel μεταχαρίζεσθαι corrigendum putabat. Facilius tamen est μὴ χατίζεσθαι, in quod cum conjectura incidissemus, postquam idem Heathio placere vidimus, in textum recepimus. Pauwius inepte conj. μὴ σκαρίζεσθαι πυρός, *non intromitti palpitantem.*

v. 314. κάτοπτον πρῶν'] κάτοπτρον οὐχ Turn. κάτοπτρον πρῶν' Vict.

v. 314. 315. ὑπερβάλλει — φλέγουσα, κᾆτ'] Vulg. ὑπερβάλλειν φλέγουσαν, εἶτ' —

v. 315. ἐς τ'] dedi pro εἶτ'.

v. 317. ἐς τόδε] ἐς τόγε Turn. στέγος] Ab hoc versu usque ad v. 1072. ingens est lacuna in Guelf. Ald. Turn. et statim sequitur v. 1073.

πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος,

Φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρός.
Τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
Ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
Νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
Τέκμαρ τοιοῦτο σύμβολόν τε σοὶ λέγω
Ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.

ΧΟΡΟΣ.

Θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι·
Λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
Διηνεκῶς θέλοιμ' ἂν, ὡς λέγοις πάλιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
Ὄξος τ' ἄλειφάρ τ' ἐγχέας ταυτῷ κύτει
Διχοστατοῦντ' ἂν, οὐ φίλω, προσεννέποις.
Καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
Φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς.
Οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
Ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων

Παῖ-

VARIETAS LECTIONIS.

ne ſigno quidem tam inſignis defectus addito. In Rob. iidem quidem verſiculi deſunt; editor tamen id ita eſſe, his verbis lectorem monuit: * *hic videntur multa deeſſe.* Primus autem Victorius e cod. Romanis lacunam explevit.

v. 319. τοιοίδε τοί μοι] Sic edidimus pro vulg. τοιοίδ' ἔτυμοι, quod metrum non fert; cum in ἔτυμοι media corripiatur. Stanl. emendabat τοιοίδ' ἔτοιμοι.

v. 329. ἄλειφάρ τ'] ἀλειφά τ' Vict.

v. 330. οὐ φίλω]. Veriſſime ſic emendandum cenſuit Stanl. Vulg. οὐ φίλως.

Παῖδες, γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
Δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
Τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
Νῆστις πρὸς ἀρίστοισιν, ὧν ἔχει πόλις,
Τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον,
Ἀλλ', ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
Ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
Ναίουσιν ἤδη, τῶν δ' ὑπαιθρίων πάγων
Δρόσων τ' ἀπαλλαγέντες, ὡς δυςδαίμονες
Ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
Εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
Τοὺς τῆς ἀλούσης γῆς, θεῶν θ' ἱδρύματα,
Οὐκ ἄν γ' ἑλόντες αὖθις ἀνθάλοιεν ἄν.
Ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ,
Πορθεῖν, ἃ μὴ χρή, κέρδεσιν νικωμένους.
Δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
Κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
Θεοῖσι δ' ἀμπλάκητος εἰ μόλοι στρατός,

VARIETAS LECTIONIS.

v. 335. παῖδες γερόντων] Stanl. conj. παῖδες, γέροντες, haud male quidem; sed vulgata tamen defendi potest.

v. 342. ναίουσιν] Recte sic poëtam scripsisse conjecit Stanl. Vulg. νέουσιν. Post inter τῶν et ὑπαιθρίων inserui δ'. Haec enim ῥῆσις cum sequentibus conjungenda.

v. 343. ὡς δυςδαίμονες] Male hanc lectionem sollicitavit Stanl. commendans e contrario ὡς δ' εὐδαίμονες.

v. 347. ἑλόντες αὖθις ἀνθάλοιεν ἄν] Recepi emendationem Stanleji elegantissimam pro vulg. αὖθις αὖ θάνοιεν ἄν.

v. 352. θεοῖσι δ' ἀμπλάκητος] Vulg. θεοῖς δ' ἀναμπλάκητος inepto sensu. Lectio, quam edidimus, verissima

Ἐγρήγορον τὸ πῆμα τῶν ὀλωλότων
Γένοιτ' ἄν, εἰ πρόσπαια μὴ τύχοι κακά.
Τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις·
Τὸ δ' εὖ κρατοίη, μὴ διχοῤῥόπως ἰδεῖν.
Πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.

ΧΟΡΟΣ.

Γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
Ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια,
Θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι.
Χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

Χ Ο Ρ Ο Σ.

Ὦ Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία
Μεγάλων κόσμων κτεάτειρα,
Ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
Στεγανὸν δίκτυον, ὡς μήτε μέγαν

Μήτ'

VARIETAS LECTIONIS.

Stanleji ingenio debetur. Abreſchio in mentem venit θεοῖς δ' ἂν ἀμπλάκητος εἰ μόλοι pro ἀναμόλοι. Verum iſta tmeſis impeditam et perplexam faceret orationem.

v. 363. Pauwius, quoniam verſum catalecticum ſ. paroemiacum huic loco ſyſtematis anapaeſtici parum convenire putabat, ita emendandum cenſuit:

τῶν μεγάλων κόσμων κτεάτειρα,

vel μεγάλων κόσμων γε κτεάτειρα. Heathius vero melius:

μεγάλων τούτων κόσμων κτεάτειρ',

quia ultimam vocis κτεάτειρα utpote brevem, proxime ſequentem verſum inci-

Μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι·
Μέγα δουλείας
Γάγγαμον, ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
Τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ,
Τείνοντα πάλαι τόξον, ὅπως ἂν
Μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων
Βέλος ἠλίθιον σκήψειεν.

στροφὴ α'. Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν,
Πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι
Ὡς ἔπραξ', ὡς ἔκρανεν.
Οὐκ ἔφα τις θεοὺς βροτῶν
Ἀξιοῦσθαι μέλειν
Ὅσοις ἀθίκτων χάρις
Πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
Πέφανται δ' ἐγγόνοις

Ἀτόλ-

VARIETAS LECTIONIS.

piente vocali, elidi neceſſe ſit. Sed ſi mutandum ſit aliquid, melius fuerit reponere:

μεγάλων Ἄργει κόσμων κτεάτειρ'.

v. 368. παναλώτου] Stanl. conj. πανάλωτον.

v. 374. ἔχουσιν] Ita ſcribendum eſſe pro vulg. ἔχουσ' vidit Stanl. Aliter enim verſus antithetico non reſpondet.

v. 376. ὡς ἔπραξ'] Vulg. ὡς ἔπραξεν. Illud metri cauſa reſcribendum eſſe recte judicavit Stanl. Arnaldus malebat ὡς πράξεν. Pauwius vero ἐξιχνεῦσ' ὡς — Ἔπραξεν.

v. 381. ἐγγόνοις] Hoc auctore Stanl. pro vulg. ἐγγόνους repoſuimus; ſenſu poſtulante. Heathius autem hunc et ſequentes verſiculos ita conſtituit:

Ἀτόλμητον Ἄρη πνεόντων
Μεῖζον ἢ δικαίως,
Φλεόντων δωμάτων ὑπέρφευ
Ὑπὲρ τὸ βέλτιστον. Ἔστω δ' ἀπή-
μαντον, ὥστε κἀπαρκεῖν
Εὖ πραπίδων λαχόντα.
Οὐ γάρ ἐστιν ἔπαλξις
Πλούτου, πρὸς κόρον ἀνδρὶ

Λακτί-

VARIETAS LECTIONIS.

ὁ δ' οὐκ εὐσεβὴς
Πέφανται γ' ἔγγονος
Ἀτολμήτων, Ἄρη πνεόντων
Μεῖζον ἢ δικαίως,
Φλεόντων δωμάτων ὑπέρ-
φευ
Ὑπὲρ τὸ βέλτιστον.

quod ille sic interpr.: *Impia vero illa manifesta ostenditur, progenies male audacium, Martem spirantium magis quam justum erat, domo immoderate exundante supra id quod optimum est.*

v. 382. ἀτόλμητον] ἀτολμήτων vulg. Sed illud aptius est et concinnius, in quod jam Stanl. conjectura inciderat. Neque vero metro adversatur, ut Pauwius putabat, est enim versus antispasticus, cujus primo pedi antispasto ἀτόλμητον respondet in antithetico versu epitritus primus.

v. 383. μεῖζον] μείζον' Schol. item Abresch.

v. 384. φλεόντων] Steph. conj. φλυόντων.

v. 384. 385. ita emendandos censeo:

Φλεόντων δωμάτων ὑπέρφευ.
Ἦ που τὸ βέλτιστόν ἐστιν
τἀπήμαντον etc.

v. 386. ὥστε κἀπαρκεῖν] Abreschio in mentem venerat ὥστε μ' ἀπαρκεῖν. Nihil tamen mutari volebat. Cum autem adhuc editum esset κ' ἀπαρκεῖν, Heathio auctore rescripsimus κἀπαρκεῖν, crasi ad metri integritatem necessaria.

v. 388. 389. transponendi videbantur Heathio ob metrum antitheticorum. Non placet.

Λακτίσαντι μέγαν δίκας
Βωμὸν, εἰς ἀφάνειαν.
ἀντιστρ. α'. Βιᾶται δ' ἁ τάλαινα πειθὼ,
Προβουλόπαις ἄφερτος ἄτας.
Ἄκος δὲ παμμάταιον·
Οὐκ ἐκρύφθη, πρέπει δὲ φὼς,
Αἰνολαμπὲς σίνος·
Κακοῦ δὲ χαλκοῦ τρόπον
Τρίβῳ τε καὶ προσβολαῖς
Μελαμπαγὴς πέλει
Δικαιωθεὶς, ἐπεὶ διώκει
Παῖς ποτανὸν ὄρνιν

Πόλει

VARIETAS LECTIONIS.

v. 390. μέγαν] Vulg. μεγάλα. Sed jam Stanl. vidit metrum requirere, ut fcribatur μέγαν, quod etiam a fenfu commendatur.

v. 395. φὼς] Ita fcribendum, non ut vulg. φῶς. De viro, non de lumine agitur, ficut poftea φῶτ' ἄδικον καθαιρεῖ v. 409.

v. 398. προσβολαῖς] Optime fic emend. Stanfejus, metro pariter ac interpretationi confulens. Vulg. προβολαῖς.

v. 399. μελαμπαγὴς] Qui multa in his Chori cantibus bene conftituit Stanlejus, in hoc vocabulo perperam offenfus male reponendum cenfuit μελαμπυγὴς, ut ad Agamemnonem pertineret, idemque fignificaret ac μελάμπυγος, quod Hefych. interpr. ἀνδρεῖος. Sed recte fe habet vocabulum μελαμπαγὴς, nifi quod Aefchylus fortaffe genitivo cafu fcripfit μελαμπαγοῦς, cum χαλκοῦ conftruendum.

v. 400. 401. Antea fic edebatur:

Δικαιωθεὶς ἐπεὶ
Διώκει παῖς πτανὸν ὄρνιν,

nos autem Stanleji emendationem fecuti fumus, ne metrum laboraret; ita tamen, ut pro πετεινὸν, quod ei placebat, reponeremus doricum ποτανόν.

Πόλει πρόστριμμ' ἄφερτον ἐνθείς,
Λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν,
Τὸν δ' ἐπίστροφον τῶνδε
Φῶτ' ἄδικον καθαιρεῖ.
Οἷος καὶ Πάρις, ἐλθὼν
Ἐς δόμον τὸν Ἀτρειδᾶν,
Ἤισχυνε ξενίαν τραπέ-
ζαν κλοπαῖσι γυναικός.

στροφὴ β'. Λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
Κλόνους λογχίμους τε καὶ
Ναυβάτας ὁπλισμούς,
Ἄγουσά τ' ἀντίφερνον
Ἰλίῳ φθοράν,
Βέβακεν ῥίμφα διὰ πυλᾶν,
Ἄτλητα τλᾶσα· πολὺ δ' ἔστενον
Τόδ' ἐννέποντες δόμων προφῆται.
„Ἰώ, ἰὼ δῶμα, δῶμα καὶ πρόμοι,
Ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
Πάρεστι σιγᾶσ' ἄτιμος, ἀλοίδορος
Ἄδιστος ἀφεμέναν ἰδεῖν.

Ποθῷ

VARIETAS LECTIONIS.

v. 404. ἐπίστροφον] ἐπίστροφος conj. Heath.

v. 409. κλοπαῖσι] Sic ob metrum recte emendavit Stanl. Vulg. κλοπαῖς.

v. 417. τόδ' ἐννέποντες δόμων] Nihil opus est, ut auctore Stanl. rescribamus τὸν δ' ἐννέποντες δόμον.

v. 420. σιγᾶσ'] Schol. legit σιγᾶς.

v. 420. 421. ita nobis videntur emendandi:

πάρεστι σίγ' ἄτιμος, ἀλλ' ἀλοίδορος,
ἄλγιστος ἀφεμέναν ἰδών.

cf. Commentar. ad h. l.

Πόθῳ δ' ὑπερποντίας
Φάσμα δόξει δόμων ἀνάσσειν.
Εὐμόρφων γὰρ κολοσσῶν
Ἔχθεται χάρις ἀνδρί.
Ὀμμάτων δ' ἐν ἀχηνίαις
Ἔρρει πᾶσ' Ἀφροδίτα.
ἀντιστρ. β'. Ὀνειρόφαντοι δὲ πενθήμονες
Πάρεισιν δόξαι φέρου-
σαι χάριν ματαίαν.
Μάταν γὰρ, εὖτ' ἂν ἐσθλά
Τις δοκῶν ὁρᾷν,
Παραλλάξασα διὰ χερῶν
Βέβακεν ὄψις οὐ μεθύστερον
Πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις."
Τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
Τάδ' ἐστί, καὶ τῶνδ' ὑπερβατώτερα.
Τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις
Πένθεια τλησικάρδιος
Δόμων ἑκάστου πρέπει.
Πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·

Οὓς

VARIETAS LECTIONIS.

v. 422. ὑπερποντίας] Vere judicavit Stanl. conjunctim ſcribendum eſſe pro vulg. ὑπὲρ ποντίας.

v. 423. ἀνάσσειν] Male Stanl. hanc vocem ſollicitavit, praeferens ἄναξιν.

v. 425. ἀνδρὶ] Ita pro vulg. τανδρὶ Pauwio monente reſcripſimus. Eſt enim hic verſus periodus catalectus.

v. 426. ὀμμάτων δ' ἐν ἀχηνίαις] Prorſus aliena eſt Heathii correctio ὀμμάτων δὲ γλήναις.

v. 436. ἐφ' ἑστίας] Stanl. emend. ἐφεστίους.

Οὓς μὲν γὰρ ἔπεμψεν οἶδεν·
Ἀντὶ φωτῶν δὲ τεύχη
Καὶ σποδὸς εἰς ἑκάστου τοὺς
Δόμους εἰσαφικνεῖται.
στροφὴ γ'. Ὁ χρυσαμοιβὰς δ' Ἄρης σωμάτων
Καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
Πυρωθὲν ἐξ Ἰλίου
Φίλοισι πέμπει βαρὺ
Ψῆγμα δυςδάκρυτον
Ἀντήνορος σποδοῦ
Γεμίζοντος λέβητας εὐθέτους.
Στένουσιν δ' εὖ λέγοντες ἄνδρας,
Τὸν μὲν ὡς μάχης ἴδρις,
Τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ' ἀλ-
λοτρίας διαὶ γυναικός.
Τάδε σῖγά τις βαΰζει.
Φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
Προδίκοισιν Ἀτρείδαις.
Οἱ δ' αὐτοῦ περὶ τεῖχος
Θήκας Ἰλιάδος γᾶς

Εὔ-

VARIETAS LECTIONIS.

v. 443. ἀντὶ φωτῶν δὲ] Vulg. ἀντὶ δὲ φωτῶν. Sed transpositionem recte suasit Heathius, ut metrum strophici oppositi conveniret.

v. 444. Ut metrum strophici v. 426. huic versiculo aequetur legamus licet καὶ σποδός γ' ἑκάστου' εἰς —.

v. 452. γεμίζοντος λέβητας εὐθέτους] Justis rationibus adductus, quas in Comment. exposui, sic rescripsi loco vulgatae γεμίζων τοὺς λέβητας εὐθέτου.

v. 453. ἄνδρας] Vulg. ἄνδρα. Illud e conjectura Stanl. recepimus, ut sensui convenientius.

Εὔμορφοι κατέχουσιν·
Ἐχθρὰ δ᾽ ἔχοντας ἔκρυψεν.
ἀντίστρ. γ. Βαρεῖα δ᾽ ἀστῶν φάτις σὺν κότῳ,
Δημοκράτου δ᾽ ἀρᾶς τίνει χρέος.
Μένει δ᾽ ἀκοῦσαί τι μου
Μέριμνα νυκτηρεφές.
Τῶν πολυκτόνων γὰρ
Οὐκ ἄσκοποι θεοί.
Κελαιναὶ δ᾽ οὖν Ἐριννύες χρόνῳ,
Τυχηρὸν ὄντ᾽ ἄνευ δίκας πα-
λιντυχῆ τριβᾷ βίου
Τιθεῖσ᾽ ἀμαυρόν, ἐν δ᾽ ἀΐστοις
Τελέθοντος οὔτις ἀλκά.
Τὸ δ᾽ ὑπερκότως κλύειν εὖ
Βαρύ· βάλλεται γὰρ ὄσσοις
Διόθεν κεραυνός.
Κρίνω δ᾽ ἄφθονον ὄλβον·
Μήτ᾽ εἴην πτολιπόρθης,
Μήτ᾽ οὖν αὐτὸς ἁλοὺς
Ὑπ᾽ ἄλλων βίον κατίδοιμι.
ἐπῳδός. Πυρὸς δ᾽ ὑπ᾽ εὐαγγέλου τὴν πόλιν
Θοὰ διήκει βάξις.
Εἰ δ᾽ ἐτητύμως,
Τίς οἶδεν; ἤτοι δεῖός ἐστι, μὴ ψύθος.

Τίς

VARIETAS LECTIONIS.

v. 485. ἤτοι δεῖος ἐστί, μὴ ψύθος] Fidenter ita reſcripſimus pro vulg. ἤτοι θεῖόν ἐστι μὴ ψύθος, quod commodum h. l. ſenſum non praebet. Stanl. parum feliciter εἴ τοι θεῖον ἔστι, μὴ ψύθος.

Τίς ὧδε παιδνὸς, ἢ φρενῶν κεκομμένος,
Φλογὸς παραγγέλμασι
Νέοις πυρωθέντα καρδίαν
Ἔπειτ' ἀλλαγᾷ λόγου
Καμεῖν; ἐν γυναικὸς αἰχμᾷ·
Πρέπει πρὸ τοῦ φανέντος
Χάριν ξυναινέσαι.
Πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος
Ἐπινέμεται ταχύπορος.
Ἀλλὰ ταχύμορον
Γυναικοκήρυκτον ὄλλυται κλέος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ. ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
Φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγάς,
Εἴτ' οὖν ἀληθεῖς, εἴτ', ὀνειράτων δίκην,
Τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.
Κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
Κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
Πηλοῦ ξύνουρος διψία κόνις τάδε·
Ὡς οὔτ' ἄναυδος, οὔτε σοι δαίων φλόγα

Ὕλης

VARIETAS LECTIONIS.

v. 489. ἔπειτ' ἀλλαγᾷ λόγου] Ita correxi pro vulg. ἔπειτ' ἀλλαγᾷ λόγους, quod quid esset nemo explicare potuit. Stanl. suspicabatur legendum ἐπί τ' ἀλλαγᾷ λόγους, quo tamen sensu id acceperit, non dixit.

v. 503. 504. Vulgo post τάδε commate tantum di-

Ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός·
Ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων, ...
Τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον.
Εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.

ΧΟΡΟΣ.

Ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
Αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΧΟΡΟΣ. ΚΗΡΥΞ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΚΗΡΥΞ.

Ἰὼ πατρῷον οὖδας Ἀργείας χθονός.
Δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
Πολλῶν ῥαγεισῶν ἐλπίδων, μιᾶς τυχών.
Οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ

VARIETAS LECTIONIS.

ſtinguebatur, et legebatur ὡς οὔτ' ἄναυδος — quaſi quae ſequuntur per particulam ὡς cum μαρτυρεῖ — κόνις τάδε connecti poſſent, ac τάδε ad ſequentia, non ad praecedentia trahendum eſſet. At quomodo pulvis dicatur μαρτυρεῖν ſ. confirmare, nuntium advenientem illa vel illa dicturum eſſe? Itaque ὡς h. l. prorſus alienum eſt; nihilque certius eſt quam ὅς οὔτ' ἄναυδος legendum, idque pronomen ad κήρυκα referendum eſſe, verbis μαρτυρεῖ — τάδε inter duo coli ſigna poſitis, vel parentheſeos nota incluſis.

v. 512. δεκάτῳ] Stanlejus et Fourmontius (hiſt. de l'Acad. des Inſcr. tom. III. p. 81.) malunt δεκάτου. Sed nihil mutandum; nam e vulgata idem ſenſus oritur.

Θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
Νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος,
Ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ,
Τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη.
Ἅλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος·
Νῦν δ' αὖτε σωτὴρ ἴσθι, κἀπαγώνιος,
Ἄναξ Ἄπολλον. Τούς τ' ἀγωνίους θεοὺς
Πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον,
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
Ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
Στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
Ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
Σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
Εἴ που πάλαι, φαιδροῖσι τοῖσιδ' ὄμμασι
Δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
Ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
Καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
Ἀλλ' εὖ νιν ἀσπάσασθε, (καὶ γὰρ οὖν πρέπει)

Τροίαν

VARIETAS LECTIONIS.

v. 520. κἀπαγώνιος] i. e. καὶ ἐπαγώνιος. Scholiastes interpretatur ἀπόμαχος, adeoque vel καὶ ἀπαγώνιος intellexit, vel aliam quandam lectionem in codice suo invenit.

v. 522. 523. Pauwius ita distinguendum putat τόν τ' ἐμὸν τιμάορον, Ἑρμῆν φίλον, κήρυκα κηρύκων σέβας. Verum haec verborum junctura affectatam habet concinnitatem, Aeschylo parum dignam.

v. 528. εἴ που] Recte sic emendandum censuit Stanl. pro vulg. ἤπου. Nam εἴ που πάλαι est *si unquam alias* scil. ἐδέξασθε.

v. 529. κόσμῳ] Perperam Pauwius corrigit νόστῳ, q. d. *accipite in reditu regem.*

Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.
Βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,
Καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
Τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
Ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
Ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
Τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
Ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
Ὄφλων γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
Τοῦ ῥυσίου θ' ἥμαρτε, καὶ πανώλεθρον
Αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
Διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.

ΧΟΡΟΣ.

Κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.

ΚΗΡΥΞ.

Χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.

ΧΟΡΟΣ.

Ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;

ΚΗΡΥΞ.

Ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.

VARIETAS LECTIONIS.

v. 546. Optime de hujus et qui sequuntur versiculorum interpretatione meritus est Heathius, quod primus observavit v. 546. 548. 550. 552. 554. 556. 558. qui adhuc in edd. Clytaemnestrae tribuebantur, Choro adsignandos esse.

ΧΟΡΟΣ.

Τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου;

ΚΗΡΥΞ.

Πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου;

ΧΟΡΟΣ.

Τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένοι.

ΚΗΡΥΞ.

Ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.

ΧΟΡΟΣ.

Ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν.

ΚΗΡΥΞ.

Πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν θυμῷ στύγος;

ΧΟ-

VARIETAS LECTIONIS.

v. 554. φρενός μ' ἀναστένειν] In ſuperioribus edd. eſt φρενὸς ἀναστένειν, laborante metro, cui ut ſuccurrerem inſerui μ', quod ſententiae quoque perſpicuitatem juvat. Nam quod Heathius inſerebat γ', minus commodum eſt.

v. 555. θυμῷ στύγος;] Sic edere nullus dubitavi, pro vulg. στύγος στρατῷ, quod ſenſum prorſus corrumpit. στρατῷ fortaſſe ſic ortum: volebat aliquis explicare, ad quem pertineret στύγος, idque quia perperam pro odia acceperat, cum h. l. nihil aliud quam *aegritudinem* ſ. *moerorem* notet, adjecerat στρατοῦ, e quo deinde στρατῷ factum, poſtquam θυμῷ vel exciderat, vel gloſſemati in textum recepto, ne verſus uno pede abundaret, locum fecerat. Pauwius, quum vitium hujus loci bene ſentiret, malam tamen ei medicinam invenit, legendum putans: Πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στυγόστρατον; *unde anxium illud inerat militiam fugiens?*

ΧΟΡΟΣ.

Πάλαι τὸ σιγᾷν φάρμακον βλάβης ἔχω.

ΚΗΡΥΞ.

Καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινάς;

ΧΟΡΟΣ.

Ὡς νῦν τὸ σὸν δὴ καὶ θανεῖν πολλὴ χάρις.

ΚΗΡΥΞ.

Εὖ γὰρ πέπρακται ταῦτα. Πολλῷ δ' ἐν χρόνῳ

I 4 Τὰ

VARIETAS LECTIONIS.

v. 557. καὶ πῶς ἀπόντων —] Stanl. malebat hunc in modum distinguere: καὶ πῶς; ἀπόντων — τινάς; quod tamen necessarium non videtur. κοιράνων] Sic pro vulg. τυράννων metri causa, Cantero auctore, rescripsimus.

v. 558. ὡς νῦν] Hanc lectionem Stanleji ingenio repertam, induximus in locum vulgatae ὧν νῦν, quae sensum commodum non admittit.

v. 559. εὖ γὰρ πέπρακται] Haud assentior Stanlejo corrigenti εὖ δ' ἄρ' πέπρακται. Nam illud γὰρ, omissa, ut fit, praecedentis dicti comprobatione, causam comprobandi jam afferri significat, q. d. *non mirum est, te jam emori cupere.* Bene enim *ista cesserunt.* ταῦτα. Πολλῷ δ' ἐν χρόνῳ] Mihi quidem sic potius videtur Aeschylus scripsisse, quam ut vulg. Εὖ γὰρ πέπρακται. Ταῦτα δ' ἐν πολλῷ χρόνῳ τὰ μὲν —. Abreschium vero, ipsum quidem hujus loci difficultate offensum, bene tamen expediisse nemo dixerit. Scilicet ei in mentem venit ita versiculos hosce refingere:

εὖ γὰρ πέπρακται. θαῦμά δ'; ἐν πολλῷ χρόνῳ
τὰ μέν τις εὖ λέξειεν —

q. d. *Tu quidem mori optas, cum praeclarum eventum res sint sortitae. Quod autem secus nonnulla ceciderint, et multa nos mala pertulerimus, idne mirum cuipiam accidere et videri debet?*

Τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
Τὰ δ' αὖτε κἀπίμομφα. Τίς δὲ πλὴν θεῶν
Ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
Μόχθους γὰρ εἰ λέγοιμι καὶ δυςαυλίας,
Σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ' οὐ
Στένοντες, οὐ λαχόντες, ἤματος μέρος;

Τὰ

VARIETAS LECTIONIS.

v. 560. ἂν λέξειεν] Vulg. εὖ λέξειεν. Sed illud εὖ propter sequens εὐπετῶς ἔχειν male languet; et particula ἂν hic vix abesse potest. Corruptelae caussa fuit quod ἂν primum in αὖ, deinde hoc ab alio, cui e versu praecedente εὖ obversabatur, in εὖ mutatum est. Atque sic olim emendavi, antequam idem Stanlejo placere vidissem. Heathius tamen malebat: τὰ μέν τις εὖ λέξει' ἂν εὐπετῶς ἔχειν.

v. 564. παρήξεις] male Pauwius corrigit παρεξῆς, accipiens de δυςαυλίαις in navibus angustis *continua serie*, et male stratis, quod sane nemini probabitur. Cl. le Grand in specimine observationum, „παρέξεις legendum esse, inquit, prorsus persuadent mihi verba sequentis versiculi οὐ λαχόντες ἤματος μέρος." Quod quid sit, fateor me non intelligere. An παρέξεις esse voluit *praebitiones*, et οὐ λαχόντες ἤματος μέρος de demenso diurno accepit, quod saepe in penuria victus praebitum non fuerit? Quod si sibi persuasisset, prorsus a sensu verborum aberrasset.

v. 565. οὐ λαχόντες] Ante nos edebatur οὐ λαχόντες, quod quia sensu cassum erat, Stanl. divinabat οὐ κλαίοντες, vel simile quid legendum esse. Pauwius corrigit οὐ καμόντες. Heathius οὐ λακόντες, de strepitu in navigiis id accipiens. Neutrum placet. Verum λαχόντες genuinum est, et pro οὐ tantum emendandum erat οὖ. Nimirum haec participia στένοντες et λαχόντες h. e. verborum rectorum

Τὰ δ᾽ αὖτε χέρσῳ καὶ προσῆν, πλέον στύγος.
Εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν.
Ἐξ οὐρανοῦ δὲ κἀπὸ γῆς λειμωνίας
Δρόσοι κατεψέκαζον, ἔμπεδον σίνος
Ἐσθημάτων, τιθέντες ἔνθηρον τρίχα.
Χειμῶνα δ᾽ εἰ λέγοι τις οἰωνοκτόνον,
Οἷον παρεῖχ᾽ ἄφερτον Ἰδαία χιών,
Ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
Κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών, ...
Τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·
Παροίχεται δέ, τοῖσι μὲν τεθνηκόσιν
Τὸ μήποτ᾽ αὖθις μηδ᾽ ἀναστῆναι μέλειν.
Τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν

VARIETAS LECTIONIS.

inſtar poſita ſunt, q. d. τί δ᾽ οὐ ἐστένομεν, οὐ ἐλάχομεν, ἤματος μέρος.

v. 568. ἐξ οὐρανοῦ δὲ] Vulg. ἐξ οὐρανοῦ γὰρ — Sed particulae γὰρ nullus hic locus eſt. Itaque recte ſubſtituendum cenſuit Heathius δέ. λειμωνίας] Sic reſcripſi pro vulg. λειμωνίαι.

v. 570. ἔνθηρον] Stanl. malebat ἀνθηράν, q. d. pruinis caneſcebat noſtra veſtis. Verum ἔνθηρον bene de capillo propter madorem incomto, et feritatis ſpeciem induente, dicitur.

v. 576 ſqq. Pauwius exiſtimabat poſt τοῖσι μὲν τεθνηκόσιν verba haud ſatis apte connecti ideoque v. 578. 579. ita refingendos opinabatur:

τί τοὺς δ᾽ ἀναλωθέντας ἐν ψήφῳ λέγειν
τὸν ζῶντά τ᾽ ἀλγεῖν χρὴ τύχης παλιγκότου.

Sed falſo ſibi perſuaſerat, particulam μὲν v. 576. non ſequi in textu vulgato δὲ, quod illi reſpondeat. Nam τοῖσι μὲν τεθνηκόσι v. 576. referendum eſt ad ἡμῖν δὲ τοῖς λοιποῖσιν v. 581.

Τὸν ζῶντα δ᾽ ἀλγεῖν χρὴ τύχης παλιγκότου;
Καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ.
Ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
Νικᾷ τὸ κέρδος; πῆμα δ᾽ οὐκ ἀντιῤῥέπει·
Ὡς κομπάσαι τῷδ᾽ εἰκὸς ἡλίου φάει
Ὑπὲρ θαλάσσης, καὶ χθονὸς ποτωμένοις.
Τροίην ἑλόντες δήποτ᾽ Ἀργείων στόλος
Θεοῖς λάφυρα ταῦτα τοῖς καθ᾽ Ἑλλάδα
Δόμοις ἐπασσάλευσαν, ἀρχαῖον γάνος.
Τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
Καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τάδ᾽ ἐκπράξασα. Πάντ᾽ ἔχεις λόγον.

ΧΟΡΟΣ.

Νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
Ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν.
Δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν
Εἰκὸς μάλιστα, σὺν δὲ πλουτίζειν ἐμέ.

VARIETAS LECTIONIS.

v. 579. παλιγκότου] male corrigit Heathius παλιγκόπου, quod ille int. *fortuna in melius immutata*.

v. 584. ποτωμένοις] Male hunc dativum sugillat Stanl. ποτωμένους praeferens; nam post εἰκὸς supplendum aut potius e v. 581. repetendum est ἡμῖν, quocum construendum est ποτωμένοις. Aliam autem ob causam Heathius ποτωμένοις in ποτωμένῳ mutandum, et cum φάει construendum esse opinabatur. Nempe ei non liquebat, quomodo ποτωμένοις Graecis conveniret.

v. 587. ἀρχαῖον γάνος] Pauwius poëtam scripsisse suspicatur ἄρειον γάνος *ornamentum martium*. Heathius vero ἑρκεῖον γάνος, *domesticum ornamentum*.

v. 593. δόμοις] Falso Pauwius conj. πράμοις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
Ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρός,
Φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
Καί τις μ' ἐνίπτων εἶπε, Φρυκτωρῶν διὰ
Πεισθεῖσα, Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
Ἦ κάρτα πρὸς γυναικός, αἴρεσθαι κέαρ·
Λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην.
Ὅμως δ' ἔθυον· καὶ γυναικείῳ νόμῳ
Ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
Ἔλασκον εὐφημοῦντες, ἐν θεῶν θ' ἕδραις
Θυηφάγον κομοῦντες εὐώδη φλόγα.
Καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
Ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.

Ὅπως

VARIETAS LECTIONIS.

v. 604. ἐν θεῶν] Optime sic in notis emendavit Stanlej. Vulg. ἐνθέων. Addidi vero etiam copulam δὲ post θεῶν, et commate, quod vulgo ponebatur post ἔλασκον, melius post εὐφημοῦντες distinxi. Ceterum Cl. le Grand placebat ἂν θεῶν.

v. 605. κομοῦντες] Vulg. κοιμῶντες, quod quam ineptum esset, cum acute sentiret Pauwius (non enim de *sopienda*, sed potius de *excitanda* in aris deorum flamma agebatur) duplicem emendationem proposuit, alteram quidem optimam, quam recepimus κομοῦντες (a κομέω) flammam *curantes*, *nutrientes*; alteram vero pessimam, et ineptissimam κομῶντες a κομάω. Etsi enim flammae poëtae Graeci βόστρυχον tribuunt, κομᾶν tamen nullo modo significare potest alienam comam alere; nec unquam hoc verbum transitive ponitur. Itaque κομοῦντες videtur, nisi magis placeat κοσμοῦντες, quae Legrandi conjectura est.

Ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
Σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
Γυναικὶ τούτου φέγγος ἥδιον, δρακεῖν
Ἀπὸ στρατείας ἄνδρα, σώσαντος θεοῦ,
Πύλας τ' ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει,
Ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
Γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
Οἵαν περ οὖν ἔλειπε, δωμάτων κύνα
Ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύςφροσιν,
Καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
Οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
Οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν
Ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.

ΚΗΡΥΞ.

Τοιόςδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
Οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.

VARIETAS LECTIONIS.

v. 612. πύλας τ' ἀνοῖξαι] Vulg. πύλας ἀνοῖξαι. Sed copulam inserui Pauwio monente, quam in tali verborum junctura omittere non solet Aeschylus. Nec audiendus est Heathius asyndeta Aeschylo familiaria esse clamans, quod facile conceditur. Nunc vero non quaeritur, an alibi asyndeta reperiantur apud nostrum; sed ubi et quomodo adhibita ab eo, et adhibenda fuerint.

v. 620. χαλκοῦ βαφάς.] Infelix est Pauwii commentum, quo χαλκὸς βαφὰς reponendum somniat, quasi hic de *ferri tinctura* sermo sit, cum χαλκοῦ βαφαὶ sint *vulnera ferro inflicta*. Cf. Commentar.

ΧΟΡΟΣ. ΚΗΡΥΞ.

ΧΟΡΟΣ.

Αὔτη μὲν οὔτως εἶπε μανθάνοντί σοι
Τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
Σὺ δ' εἰπὲ κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
Εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν
Ἥξει ξὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.

ΚΗΡΥΞ.

Οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
Ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.

ΧΟΡΟΣ.

Πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ κἀληθῆ τύχοις;
Σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.

ΚΗΡΥΞ.

Ἀνὴρ ἄφαντος ἐξ Ἀχαιϊκοῦ στρατοῦ,
Αὐτός τε καὶ τὸ πλοῖον· οὐ ψευδῆ λέγω.

ΧΟΡΟΣ.

Πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
Ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;

ΚΗ-

VARIETAS LECTIONIS.

v. 630 sqq. In Vict. quae sequuntur Chori partes male Clytaemnestrae tribuebantur.

v. 630. κεδνὰ κἀληθῆ τύχοις;] Sic emendavi pro vulg. τἀληθῆ τύχῃς; quod quibus caussis adductus fecerim, exposui in Commentar. ad h. l.

v. 632. Ἀχαιϊκοῦ] Sic Pauwio monente, metri caussa scribendum fuit, non ut vulg. Ἀχαϊκοῦ.

ΚΗΡΥΞ.

Ἔκυρσας, ὥςτε τοξότης ἄκρος, σκοποῦ,
Μακρὸν δὲ πῆμα συντόμως ἐφημίσω.

ΧΟΡΟΣ.

Πότερα γὰρ αὐτοῦ ζῶντος, ἢ τεθνηκότος
Φάτις πρὸς ἄλλων ναυτίλων ἐκλήζετο;

ΚΗΡΥΞ.

Οὐκ οἶδεν οὐδείς, ὥςτ' ἀπαγγεῖλαι τορῶς
Πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.

ΧΟΡΟΣ.

Πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
Ἐλθεῖν, τελευτῆσαί τε δαιμόνων κότῳ;

ΚΗΡΥΞ.

Εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
Γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
Ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
Στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
Πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
Πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
Ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
Δίλογχον ἄτην, φοινίαν ξυνωρίδα·
Τοιῶνδε μέν τοι πημάτων σεσαγμένον

Πρέ-

VARIETAS LECTIONIS.

v. 638. γὰρ] Iterum Stanlejum fefellit vera hujus particulae vis, ut eam in δ' ἄρ' mutari vellet.

v. 652. σεσαγμένον] Ita emendavi, pro eo quod in superioribus edd. legitur σεσαγμένων. Nempe post σεσαγμένον intelligendum est τινὰ, vel ἄγγελον.

Πρέπει λέγειν παιᾶνα τῶν Ἐριννύων.
Σωτηρίων δὲ πραγμάτων εὐάγγελος,
Ἥκων τε πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
Πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
Χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
Ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τοπρὶν,
Πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην
Φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
Ἐν νυκτὶ δυσκύμαντα δ' ὠρόρει κακά.
Ναῦς γὰρ πρὸς ἀλλήλῃσι Θρηκίαι πνοαὶ
Ἤρεικον· αἱ δὲ, κεροτυπούμεναι βίᾳ
Χειμῶνι, τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ,
Ὤιχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
Ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
Ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
Ἀνδρῶν Ἀχαιῶν, ναυτικοῖς τ' ἐρειπίοις.
Ἡμᾶς γε μὲν δὴ, ναῦν τ' ἀκήρατον σκάφος
Ἤτοι τὶς ἐξέκλεψεν, ἢ 'ξηγήσατο

Θεὸς

VARIETAS LECTIONIS.

v. 654 ſq. εὐάγγελος ἥκων τε] Vulgo legebatur εὐάγγελον ἥκοντα, quod falſum eſſe ſatis intelligitur vitio conſtructionis. Puto autem initio ἥκων τε in ἥκοντα, poſt etiam ad hujus normam εὐάγγελος in εὐάγγελον immutatum eſſe. Poſteaquam ita h. l. emendaveram, vidi eandem Pauwio rationem in mentem veniſſe.

v. 662. Θρηκίαι] Sic edidimus pro vulg. Θρηΐκίαι, Arnaldo Pauwioque auctoribus.

v. 664. ζάλῃ τ'] Male corrigit Pauwius ζάλῃ γ'. Neque vero ei aſſentior genitivum τυφῶ in dativum immutanti.

v. 670. ἐξηγήσατο] edd. ἐξῃτήσατο.

Θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
Τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο·
Ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν,
Μήτ' ἐξοκεῖλαι πρὸς κραταιλέων χθόνα.
Ἔπειτα δ' ᾅδην πόντιον πεφευγότες
Λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ
Ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
Στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
Καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων
Λέγουσιν ἡμᾶς ὡς ὀλωλότας. Τί μή;
Ἡμεῖς δ' ἐκείνους ταύτ' ἔχειν δοξάζομεν.
Γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
Πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν.
Εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ

VARIETAS LECTIONIS.

v. 672. ναῦν θέλουσ'] Ingeniose quidem emendat Stanl. ναυστολοῦσ', verum an ita scripserit Aeschylus incertum est. Nam θέλουσ' h. l. ut vidit Abreschius, significare potest, *volens*, *propitia*. Canterus conjecerat ναῦν στελοῦσ'. Sed prorsus absurdum est, quod Pauwius pro lectione genuina τύχη δὲ σωτή, novum sane vocabulum et inauditum, ne dicam barbarum.

v. 677. νέον πάθος] Cum Stanl. νέων πάθος corrigere nihil opus est.

v. 681. ταύτ'] Obsecutus sum Stanlejo, ut ταύτ' (a ταυτὰ) reponerem pro vulg. ταῦτ'.

v. 682. γὰρ οὖν] Denuo Stanl. particulae γὰρ usum cum ellipsi ignorans, injuria postulat, ut pro ea γ' ἄρ' invehamus. Post γένοιτο δ' ὡς ἄριστα, *optime igitur haec eveniant*, suppressa est haec sententia, *et certe evenient;* cujus omissae causam mox indicari declaratur addita particula γάρ.

Καὶ ζῶντα καὶ βλέποντα, μηχαναῖς Διός,
Οὔπω θέλοντας ἐξαναλῶσαι γένος,
Ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
Τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.

Χ Ο Ρ Ο Σ.

στροφὴ ά. Τίς ποτ' ὠνόμαζεν
Ὧδ' ἐς τὸ πᾶν ἐτητύμως,
(Μή τις, ὅντιν' οὐχ ὁρῶμεν,
Προνοίαισι τοῦ πεπρωμένου
Γλῶσσαν ἐν τύχᾳ νέμων;)
Τὰν δορίγαμβρον ἀμφινεικῆ
θ' Ἑλέναν ἐπεὶ πρεπόντως
Ἑλένας, ἕλανδρος, ἑλέπτολις,

Ἐκ

VARIETAS LECTIONIS.

v. 692. προνοίαισι] Sic vulgati προνοίαις loco scribendum fuit, ut metrum antithetici versus numeris responderet. Ita et Pauwio Heathioque visum. Heathio monente in duo contraximus. Nam et metrorum Enarrator graecus septendecim tantum hujus Strophae et Antistrophae versus numerat.

v. 693. ἐν τύχᾳ] Parum placet quod Pauwio in mentem venit ἐντυχῆ.

v. 694. Tres versiculos in edd. ita constitutos:
τὰν δορίγαμβρον
Ἀμφινεικῆ θ' Ἑλέναν,
Ἐπεὶ πρεπόντως.

v. 696. ἑλένας] Male Scholiastes hoc epitheton accepit pro genitivo nominis Ἑλένης. Esse autem idem quod ἑλέναυς, ita ut quasi explicationem involvat nominis Helenae, recte judicavit Salmasius. Pauwii

Ἐκ τῶν ἀβροτίμων
Προκαλυμμάτων ἔπλευσεν
Ζεφύρου γίγαντος αὔρᾳ.
Πολύανδροί τε φεράσπιδες,
Κυναγοὶ κατ' ἴχνος
Πλατᾶν ἄφαντον
Κελσάντων Σιμόεντος ἀκτὰς
Ἐπ' ἀεξιφύλλους
Δι' ἔριν αἱματόεσσαν.

Ἰλίῳ

VARIETAS LECTIONIS.

vero commentum, scribendum esse ἕλενα, quasi dicatur *unum* vel *una perdens*, ἢ ἕλεν ἕνα, vel ἑνικῶς, adeo absurdum est, ut vel memoraſſe poeniteat.

v. 702. πλατᾶν] Vulg. πλάταν. Canterus emendaverat πλάτας, quod placet Stanlejo. Praetulimus autem genitivum pluralem, quem etiam Heathio probatum esse cognovimus.

v. 703. κελσάντων] Stanlejus corrigit κέλσαν τοῦ, quod difficultatem h. l. non tollit. Forsan melius fuerit rescribere:

ἔκελσαν οὖν Σιμόεντος ἀκτάς,

quod si placuerit v. 700. τε in δὲ mutandum. Fieri etiam potest, ut ita scripserit Aeschylus:

κέλσαντες οὖν Σιμόεντος ἀκτάς,

et post φεράσπιδες ex antecedentibus intelligi voluerit ἔπλευσαν. Quicquid sit, κελσάντων certe corruptum est.

v. 704. ἀεξιφύλλους] Vulg. mendose ἀξιφύλλους. Stanl. probante Heathio conj. αὐξιφύλλους. Pauwius ἀεξιφύλλους, vel ἀξιοφύλλους. Sed hoc quidem nullius pretii est. Fortaſſe autem scripserat Aeschylus εἰνοσιφύλλους quod sensim in ἐπ' ἀξιφύλλους, depravatum. In incerta re ἀεξιφύλλους, quod Abreschio quoque arridebat, in textum recepimus, ut

ἀντιςρ. α'. Ἰλίῳ δὲ κῆδος
Ὀρθώνυμον τελεσσίφρων
Μῆνις ἤλασε, τραπέζας
Ἀτίμωσιν ὑστέρῳ χρόνῳ
Καὶ ξυνεστίου Διὸς
Πρασσομένα, τὸ νυμφότιμον
Μέλος ἐκφάτως τίοντος,
Ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
Γαμβροῖσιν ἀείδειν.
Μεταμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γεραιὰ
Πολυθρέμμων μέγα που στένει,
Κικλήσκουσα Πάριν
Τὸν αἰνόλεκτρον,
Παμπήδην πολύθρηνον αἰῶ-
ν' ἀμφὶ πολιτᾶν

VARIETAS LECTIONIS.

ſaltem legeretur aliquid, quod ſenſum praeberet.

v. 707. τελεσσίφρων] Superiores edd. τελεσίφρων. Sed metri cauſa duplicandum eſſe ſigma, vere exiſtimavit Arnaldus.

v. 708. ἤλασε Stanlejo debetur; vulgatum ἔλασε metrum corrumpit. Pauwius emendabat μῆνις ἐπέλασε.

v. 709. ἀτίμωσιν] Optime ſic emendavit Cant. Antea corrupte legebatur ἄτιμος ἵν'.

v. 712. τίοντος] Vulg. τίοντας.

v. 717. πολυθρέμμων] e Bothii emendatione. Vulgo πολύθρηνον.

v. 720. παμπήδην] Sic emendavi vulg. παμπρόσθη. Stanlej. emend. παμπενθῆ. Heathius πάμπροσθεν.

v. 721. πολιτᾶν] Vulg. πολίταν. Sed genitivum pluralem aperte ſenſus poſtu-

Μέλεον αἷμ' ἀνατλᾶσα.
στροφὴ β'. Ἔθρεψεν δὲ λέοντα
Σίνιν δόμοις ἀγάλακτον
Οὕτως ἀνὴρ φιλόμαστον.
Ἐν βιότου προτελείοις
Ἅμερον εὐφιλόπαιδα,
Καὶ γεραροῖς ἐπίχαρτον.
Πολέα δ' ἔσχ' ἐν ἀγκάλαις,
Νεοτρόφου τέκνου δίκαν,
Φαιδρωπὸς ποτὶ χεῖρα
Σαίνων τε γαστρὸς ἀνάγκαις.
ἀντιστρ. β'. Χρονισθεὶς δ' ἀπέδειξεν
Ἔθος τὸ πρὸς τοκήων.

Χάριν

VARIETAS LECTIONIS.

lat. Ad metrum quod attinet, ſi penultimo ſtrophes verſu ἀεξιφύλλους verum eſſet, ſcribendum foret πολιητᾶν.

v. 725. οὕτως ἀνὴρ] Ita correxi, quod eſt in edd. οὗτος ἀνήρ. Pauwius inficete corrigit δοῦλος ἀνήρ. Metri cauſa Heathio placebat οὗτός γ' ἀνὴρ, ut verſus eſſet epionicus a minore dimeter acatal.

v. 731. 732. φαιδρωπὸς — σαίνων τε] Stanl. conj. φαιδρωπὸν ποτὶ χεῖρα, σαίνοντα. Sic et Auratus emendaverat, teſte Spanhemio ad Ariſtoph. Nub. v. 1113. Sed mutatione nihil opus eſt. Ceterum in edd. verſiculi ſic conſtituebantur:

Φαιδρωπὸς ποτὶ χεῖρα σαίνων
τε γαστρὸς ἀνάγκαις.

Eas concinnius diſpoſui, ut prior ſit dactyl. trimeter, poſterior jambic. hephthemimeres.

v. 734. ἔθος τὸ πρὸς τοκήων] Male corrigit Stanlejus ἔθος πρὸς τῶ τοκήων.

Χάριν τροφᾶς γὰρ ἀμείβων,
Μηλοφόνοις ἄταισιν
Δαῖτ' ἀκέλευστος ἔτευξεν·
Αἵματι δ' οἶκος ἐφύρθη·
Ἄμαχον δ' ἄλγος οἰκέταις
Μέγα σίνος πολύκτονον.
Ἐκ θεοῦ δ' ἱερεύς τις
Ἄτας δόμοις προσεθρέφθη.
στροφὴ γ'. Παραυτὰ δ' οὖν ἐλθεῖν ἐς Ἰλίου πόλιν
Λέγοιμ' ἂν φρόνημα μὲν
Νηνέμου γαλάνας,
Ἀκασκαῖον ἄγαλμα πλούτου,
Μαλθακὸν ὀμμάτων βέλος,
Δηξίθυμον ἔρωτος ἄνθος·

VARIETAS LECTIONIS.

v. 735. τροφᾶς γὰρ] Vulgo γὰρ τροφᾶς. Transpositionem metri causa necessariam Heathio suasore admisimus.

v. 736. μηλοφόνοις ἄταισιν] Sic de Pauwii sententia rescripsi. Vulg. μηλοφόνοισιν versum turbat. Strophicus enim oppositus est dactylicus. Cum autem ἄταισιν primam producat, dactylum ea cum duabus ultimis in μηλοφόνοισιν efficere nequit.

v. 739. ἄμαχον δ' ἄλγος] Pauwius, ne trochaicus laboret, expungendam censet particulam δὲ.

v. 742. προσεθρέφθη] Vulgo προσετράφη.

v. 743. παραυτὰ] Heath. conj. παρ' αὐτὰ, *his similiter*. ἐλθεῖν] Minime admittendum est ἦλθεν, quod Stanl. in mentem venit, sed potius, quod idem fieri posse vidit, post ἄνθος distinguendum, et παρακλίνουσ' cum sequentibus construendum est.

Παρακλίνουσ' ἐπέκρανεν δὲ
Γάμου πικρὰς τελευτάς,
Δύσεδρος καὶ δυσόμιλος
Συμένα Πριαμίδαισι
Πομπᾷ Διὸς ξενίου,
Νυμφόκλαυτος Ἐρινύς.
ἀντιστρ. γ'. Παλαίφατος δ' ἐν τοῖς βροτοῖς γέρων λόγος
Τέτυκται, μέγαν τελε-
σθέντα φωτὸς ὄλβον
Τεκνοῦσθαι, μηδ' ἄπαιδα θνήσκειν,
Ἐκ δ' ἀγαθᾶς τύχας γένει
Βλαστάνειν ἀκόρεσταν οἰζύν.
Δίχα δ' ἄλλων μονόφρων εἰμί.
Τὸ δυσσεβὲς γὰρ ἔργον
Μετὰ μὲν πλείονα τίκτει,
Σφετέρᾳ δ' εἰκότα γέννᾳ.
Οἴκων δ' ἄρ' εὐθυδίκων]
Καλλίπαις πότμος αἰεί.
στροφὴ δ'. Φιλεῖ δὲ τίκτειν Ὕβρις μὲν παλαιὰ
Νεάζουσαν ἐν κακοῖς βροτῶν Ὕβριν
Τότ' ἢ τόθ', ὁππόταν τὸ κύριον μόλῃ,

Νεα-

VARIETAS LECTIONIS.

v. 760. οἰζύν] Vulg. ὀϊζύν.

v. 762. τὸ δυσσεβὲς γὰρ ἔργον] Vulg. metro adverſante τὸ γὰρ δυσσεβὲς ἔργον. Transpoſitionem metro pariter ac ſtructurae verborum utilem ſuaſerunt Pauwius Heathiusque.

v. 765. δ' ἄρ'] Sic auctore Stanlejo neceſſario emendandum fuit. Vulgato enim γὰρ nullus hic locus eſt.

v. 769. τότ' ἢ τόθ' ὁππόταν] Metrum verſiculi ita ſublevat Pauwius, ut reponat ὁππόταν; quod quidem

Νεαρὸν φάει σκότον,
Δαίμονά τε τὸν ἄμαχον, ἀπόλεμον,
Ἀνίερον, Θράσος,
Μελαίνας μελάθροισιν ἄτας,
Εἰδομένας τοκεῦσιν.
ἀντιστρ. δ'. Δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοισι
Δόμοις, τὸν δ' ἐναίσιμον τίει βίον.
Τὰ χρυσόπαστα δ' ἔδεθλα σὺν πίνῳ χερῶν
Παλιντρόποις λιποῦ-
σ' ὄμμασιν ὅσια προσέβα, τοῦ * *
Δύναμιν οὐ σέβου-
σα πλούτου παράσημον αἴνῳ·
Πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

VARIETAS LECTIONIS.

melius certe, quam alterum ab eo propositum, τότ' ἢ τόθ' ἄρ' ὅταν.

v. 770. νεαρὸν φάει σκότον] In edd. est νεαρὰ φάους κότον, quod aperte corruptum et a nemine interpretum explicatum est. Heathius emendabat Νεαρὰ φύει κότον.

v. 774. εἰδομένας] Edd. habent εἰδομέναν. Optimum vero, quod et Heathio visum, rescribere εἰδομένας. Sensus est: *Vetus injuria novam parit, generans nimirum odium s. vindictae cupiditatem* (κότον) *et audaciam* (θράσος), *atras aedibus noxas parentibus similes.*

v. 775 sq. δυσκάπνοισι δόμοις] Vulg. δυσκάπνοις δώμασι.

v. 777. ἔδεθλα] Vulg. ἔσθλα.

ΧΟΡΟΣ. ΑΓΑΜΕΜΝΩΝ. ΚΑΣΑΝΔΡΑ.

ΧΟΡΟΣ.

Ἄγε δή, βασιλεῦ, Τροίας πτολίπορ-
θ', Ἀτρέως γένεθλον,
Πῶς σε προςείπω; πῶς σε σεβίζω
Μήθ' ὑπεράρας, μήθ' ὑποκάμψας
Καιρὸν χάριτος; πολλοὶ δὲ βροτῶν
Τὸ δοκεῖν εἶναι
Προτίουσι, δίκην παραβάντες.
Τῷ δυςπραγέοντι δ' ἐπιστενάχειν
Πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
Οὐδὲν ἐφ' ἧπαρ προςικνεῖται·
Καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
Ἀγέλαστα πρόςωπα βιαζόμενοι.
Ὅστις δ' ἀγαθὸς προβατογνώμων,
Οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς
Τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
Ὑδαρεῖ σαίνειν φιλότητι.
Σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐ γὰρ ἐπικεύσω,
Κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,

Οὐδ'

VARIETAS LECTIONIS.

v. 790. δυςπραγέοντι] Ita de Grotii ſententia pro vulg. δυςπραγοῦντι reſcribendum fuit, ob metrum anapaeſticum.

v. 791. δῆγμα] In Vict. erat δεῖγμα. Sed jam Steph. vidit veram eſſe lectionem δῆγμα, quae eſt apud Stobaeum.

v. 794. Male apud Stobaeum legitur: Καὶ νυκτὶ δὲ χαίρουσιν ὁμοιοπρεπεῖς Ἀγέλας τὰ πρόςωπα βιαζόμενοι.

Οὐδ' εὖ πραπίδων οἴακα νέμων,
Θράσος ἀκούσιον
Ἀνδράσι θνήσκουσι κομίζων.
Νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς, οὐδ' ἀφίλως
Εὔφρων τις πόνον εὖ τελέσασιν.
Γνώσει δὲ χρόνῳ διαπευθόμενος
Τόν τε δικαίως καὶ τὸν ἀκαίρως
Πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ.

Πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
Δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
Νόστου, δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου. Δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
Κλύοντες, ἀνδροθνῆτας Ἰλίου φθορὰς
Ἐς αἱματηρὸν τεῦχος οὐ διχοῤῥόπως
Ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
Ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένη.

VARIETAS LECTIONIS.

v. 802. οἴακα νέμων] Lapſus eſt Stanlejus exiſtimans mediam in οἴακα corripi, ideoque οἴακα νωμῶν ut Sept. adv. Theb. v. 3. reſcribendum eſſe. Atqui eum idem ille locus, ad quem provocabat, mediam in οἴακα produci, docere poterat.

v. 803. ἀκούσιον] Hoc vulgato ἑκούσιον, metro et ſententia poſtulante, Cantero, Stanlejo Pauwioque ſuaſoribus, praeferendum duxi.

v. 806. πόνον] Sic emendavit Bothius. Vulg. πόνος.

v. 817. χειρὸς — πληρουμένη] Vulgo editum χειρὸς — πληρουμένω. Stanl. emendandum putabat χειλὸς, prorſus a vero verborum ſenſu aberrans. Haud magis audiendus eſt Pauwius, ſcri-

Καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
Ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
Σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
Τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
Τίνειν· ἐπείπερ καὶ παγὰς ὑπερκότους
Ἐπραξάμεσθα, καὶ γυναικὸς οὕνεκα
Πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
Ἵππου νεοσσός, ἀσπιδηστρόφος λεώς,
Πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
Ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
Ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
Θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
Τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων.
Καὶ φημὶ ταυτά, καὶ ξυνήγορόν μ' ἔχεις.

VARIETAS LECTIONIS.

bendum opinatús ἐλπὶς προσήει χῆρος οὐ πληρουμένῳ, enallage generis in χῆρος ἐλπὶς admiſſa. Cl. Legrand, pro χειρὸς, χωρὶς legendum arbitratur, quod quo modo commode explicandum ſit, nec ipſe dixit, nec ego exputo. Sed χειρὸς bene habet; πληρουμένῳ vero vitioſum eſt, idque levi medela ſanavimus. Sed conſule Commentar.

v. 818. καπνῷ δ' ἁλοῦσα] Minime committendum, ut καπνοῦθ' ἁλοῦσα, quod placuit Cl. Legrandio recipiamus. Multo enim elegantior vulgata: *Fumo autem etiamnum inſignis eſt urbs*, ſ. locus ubi Troja fuit.

v. 823. ἐπραξάμεσθα] Recte hoc reſtituit Stanl. Antea perperam ἐπραξάμεθα. Illud Atticum eſt, et metri cauſa neceſſarium.

v. 831. ταυτὰ pro vulg. ταῦτα, Stanlejo auctore recepi.

Παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
Φίλον τὸν εὐτυχοῦντ᾽ ἄνευ φθόνου σέβειν.
Δύςφρων γὰρ ἰὸς καρδίαν προςήμενος
Ἄχθος διπλοίζει τῷ πεπαμμένῳ νόσον·
Τοῖς τ᾽ αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται,
Καὶ τὸν θυραῖον ὄλβον εἰςορῶν στένει.
Εἰδὼς λέγοιμ᾽ ἄν, (εὖ γὰρ ἐξεπίσταμαι
Ὁμιλίας κάτοπτρον) εἴδωλον σκιᾶς
Δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
Μόνος δ᾽ Ὀδυσσεύς, ὅςπερ οὐχ ἑκὼν ἔπλει,
Ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειρασφόρος·
Εἴτ᾽ οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι
Λέγω. Τὰ δ᾽ ἄλλα, πρὸς πόλιν τε καὶ θεούς,
Κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει,
Βουλευσόμεσθα. Καὶ τὸ μὲν καλῶς ἔχον
Ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον.
Ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων
Ἤτοι κέαντες, ἢ τεμόντες εὐφρόνως
Πειρασόμεσθα πήματος τρέψαι νόσον.
Νῦν δ᾽ ἐς μέλαθρα καὶ δόμους ἐφεστίους

Ἐλ-

VARIETAS LECTIONIS.

v. 833. φθόνου] Apud Stobaeum Serm. 38. legitur ψόγου.

v. 835. διπλοίζει] Stanl. legi vult διπλάζει, sine causa idonea.

v. 838. Vulgo post λέγοιμ᾽ ἂν coli signo distinguebatur, et post κάτοπτρον omnis interpunctionis nota aberat. Rectius autem, ut fecimus, parentheseos notis includuntur εὖ κάτοπτρον.

v. 847. μενεῖ] Stanl. corr. μενῇ.

Ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
Οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
Νίκη δ᾽ ἐπείπερ ἕσπετ᾽, ἐμπέδως μένοι.

ΧΟΡΟΣ. ΑΓΑΜΕΜΝΩΝ. ΚΑΣΑΝΔΡΑ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
Οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
Λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ᾽ ἀποφθίνει
Τὸ τάρβος ἀνθρώποισιν. Οὐκ ἄλλων πάρα
Μαθοῦσ᾽ ἐμαυτῆς δύςφορον λέξω βίον,
Τοσόνδ᾽ ὅσονπερ οὗτος ἦν ὑπ᾽ Ἰλίῳ.
Τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
Ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακόν,
Πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
Καὶ τὸν μὲν ἥκειν, τὸν δ᾽ ἐπειςφέρειν κακοῦ
Κάκιον ἄλλο πῆμα λάσκοντας δόμοις.

Καὶ

VARIETAS LECTIONIS.

v. 852. θεοῖσι δεξιώσομαι] Pauwius quaerit an scribendum sit, θεοὺς τὰ πρῶτα δεξιώσομαι, vel θεούς γε πρῶτα δεξιώσομαι. Sed salva est vulgata.

v. 863. κληδόνας] Vulgo ἡδονάς, quod falsissimum est, et jam antequam Stanlejus admoneret, ab editoribus corrigendum erat. cf. v. 874. Pro παλιγκότους Heathius mavult παλιγκόπους, *rumores in contrarium tendentes, sibi mutuo contradicentes.*

v. 864. 865. Suspicor hos versiculos olim ita scriptos fuisse:

Καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
Ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
Φάτις, τέτρωται δικτύου πλέω λέγειν.
Εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυνον λόγοι,
Τρισώματός γ' ἂν Γηρυὼν ὁ δεύτερος
Πολλὴν ἄνωθεν (τὸν κάτω γὰρ οὐ λέγω

Χθο-

VARIETAS LECTIONIS.

καὶ τὸν μὲν ἥκειν πῆμα, τὸν δ' ἐπεισφέρειν
κακοῦ κάκιον ἄλλο λάσκοντας δόμοις.

ut post πῆμα e sequentibus ad sensum suppleatur λάσκοντα δόμοις. Certe si vulgata vera est, non ut Stanlejus fecit ἥκειν inter duo commata ponendum, quasi significet, *et alium quidem nuntiare, Agamemnonem jam advenire*, sed potius post ἥκειν supplendum κακὸν vel πῆμα λάσκοντα. Alter enim nuntiabat regem vulneratum, alter quod majus erat, eum occisum esse. cf. v. 866 sqq.

v. 867. ὠχετεύετο] In edd. scribebatur ᾠχετεύετο, errore typogr. e Vict. in reliquas propagato.

v. 870. γ' ἂν] Obsecutus sum Abreschio, Heathioque, ut sic scriberetur praecipientibus. In vulg. τ' ἂν copula τε prorsus otiosa est.

v. 871 sqq. Sensum his inesse negans Pauwius ita scribendum censet:

Εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυνον λόγοι,
Τρισώματός τ' ἂν Γηρυών, ὁ δεύτερος·
Πολλήν τ' ἄνωθεν (τὸν κάτω γὰρ οὐ λέγω
Χθονὸς) τρίμοιρον χλαῖναν ἐξηύχει λαβών,
Ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.

Sic autem interpretatur: *Si vero fuisset mortuus, ut augescebant rumores, tricorpor Geryon non potuisset cum eo paria facere, et superus ille, inferum enim non dico, frequentem laenam triparcam se accepisse gloriatus fuisset, semel in forma unaquaque mortuus.* Nobis in loco difficili nihil tamen praeter

Χθονὸς τρίμοιρον) χλαῖναν ἐξηύχει λαβὼν,
Ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
Τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων
Πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
Ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
Ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ
Ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων,
Ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε·
Τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα
Ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
Κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
Βουλὴν καταῤῥίψειεν, ὥστε ξύγγονον
Βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
Τοιάδε μέν τοι σκῆψις οὐ δόλον φέρει.
Ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι

Πη-

VARIETAS LECTIONIS.

vulg. τὴν in τὸν mutandum, et parenthesis non, ut antea fiebat, post χθονὸς, sed post τρίμοιρον claudenda videbatur.

v. 874. παλιγκότων] Iterum Heathius conj. παλιγκότων reponendum esse.

v. 876. λελημμένης] Forte verius λελημμένῃ scil. ἐμοί.

v. 882. 883. In Vict. Cant. Stanl. est τὸν δ' ὑπ' Ἰλίῳ et post κίνδυνον coli signum. Recte vero Pauwius judicavit τόν θ' ex τόν τε legendum, cui altera copula in εἴ τε respondeat, ideoque post κίνδυνον commate tantum interpungendum esse.

v. 884. βουλὴν] Canterus suspicatur antiquam lectionem fuisse βόλον. Abreschius βουλὴν defendit, pro καταῤῥίψειεν autem mavult καταῤῥάψειεν. Neutrum necessarium.

v. 886. σκῆψις] σκέψις conj. Pauwius.

Πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
Ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω
Τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
Ἀτημελήτους αἰέν. Ἐν δ' ὀνείρασιν
Λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
Ῥιπαῖσι θωΰσσοντος, ἀμφί σοι πάθη
Ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
Νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ
Λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα,
Σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
Στῦλον ποδήρη, μονογενὲς τέκνον πατρί,
Καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
Κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
Ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.

Τοι-

VARIETAS LECTIONIS.

v. 893. 894. Pro ἀμφί σοι Heathius emendandum putat ἀμφίς σου, ridiculam sane interpretationem afferens: *A te separata plures molestias experta, quam toto tempore quo una tecum dormiebam;* in hisque partus dolores respici a regina somniat, quibus nempe majores fuisse eos, quos absente marito pertulerit.

v. 895. ἀπενθήτῳ φρενὶ] Pauwio judice haec vel ad λέγοιμ' ἂν trahenda, vel ἀπορθήτῳ φρενὶ scribendum esset.

v. 897. Σωτῆρα ναὸς πρότονον] Distinctionem ed. Victor. σωτῆρα ναός, πρότονον ὑψηλῆς etc. falsam esse jam vidit Canterus, nihilo secius ab eo et sequentibus editoribus in textu servatam.

v. 898. ποδήρη corruptum existimabat Heathius, curis tamen posterioribus meliora edoctus:

Τοιοῖσδε τοί νιν ἀξιῶ προσφθέγμασιν.
Τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
Φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
Ἠνειχόμεσθα. Νῦν δ' ἐμοὶ φίλον κάρα
Ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
Τὸν σὸν πόδ', ὦ 'ναξ, Ἰλίου πορθήτορα. —
Δμωαί, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
Πέδον κελεύθου στρωννύναι πετάσμασιν;
Εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος,
Ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
Τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
Θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα.

ΑΓΑ-

VARIETAS LECTIONIS.

v. 902. 903. Vulgo ſic collocabantur:

Τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν
Τοιοῖσδε τοί νιν ἀξιῶ προσφθέγμασιν.

Transpoſitionem noſtram ordo ſententiarum poſtulabat.

v. 902. τοιοῖσδε τοί νιν] Vulg. τοιοῖσδε τοίνυν. Pauwius conj. τοιοῖσδε τοίνυν σ'. Heathius vulgatam defendit, quia σὲ facile ſubintelligi poſſit. Verum h. l. Clytaemneſtra non alloquitur Agamemnonem, ſed de eo tertia perſona uſa loquitur; quod facile patet e comparatione v. 896. λέγοιμ' ἂν ἄνδρα τόνδε —. Quae ſententia hic aliis verbis enuntiatur. Itaque ſine dubio verum eſt, quod repoſuimus τοί νιν.

v. 907. ὦ 'ναξ] Hoc modo ſcribendum fuit, Pauwio Heathioque monentibus, ne verſus claudicaret. Vulg. ἄναξ. πορθήτορα] Cl. Valckenaer ad Eurip. Phoeniſſ. v. 854 corr. πορθήτορος. Vulgatam tamen cum Heathio veram puto.

ΑΓΑΜΕΜΝΩΝ.

Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
Ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
Μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
Αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
Καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
Ἅβρυνε, μηδὲ, βαρβάρου φωτὸς δίκην,
Χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
Μήδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
Τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
Ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
Βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
Λέγω, κατ' ἄνδρα, μὴ θεὸν σέβειν ἐμέ.
Χωρὶς ποδοψήστρων δ' ἐμὴ τῶν ποικίλων
Κληδὼν ἀΰτεῖ, καὶ τὸ μὴ κακῶς φρονεῖν
Θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
Βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
Εἰ πάντα δ' ὡς πράσσοιμ' ἄν, εὐθαρσὴς ἐγώ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.

ΑΓΑ-

VARIETAS LECTIONIS.

v. 920. προσχάνῃς] non est sollicitandum; nec ullius pretii est, quod Pauwius affert, προσισχάνῃς.

v. 926. ποδοψήστρων δ' ἐμὴ τῶν] Vulgo ποδοψήστρων τε καὶ τῶν.

v. 931. καὶ μὴν τόδ' εἰπὲ μὴ] Inutiliter ac sine caussa corrigi vult Heathius: καὶ μὴν τόδ' εἶπες δὴ παρὰ γνώμην ἐμοί, q. d. *Atqui hoc quidem dixisti praeter opinionem et contra sententiam meam.* Imo Clytaemnestra hoc dicit: *Atqui*, quamquam haec, quae de moderato fortunae usu dixisti, verissima sunt,

ΑΓΑΜΕΜΝΩΝ.

Γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ᾽ ἐμέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ηὔξω θεοῖς δείσας ἂν ὧδ᾽ ἔρδειν τάδε;

ΑΓΑΜΕΜΝΩΝ.

Εἴπερ τις, εἰδώς γ᾽ εὖ τόδ᾽ ἐξεῖπον τέλος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τί δ᾽ ἂν δοκεῖ σοι Πρίαμος εἰ τάδ᾽ ἤνυσεν;

ΑΓΑΜΕΜΝΩΝ.

Ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον ....

ΑΓΑ.

VARIETAS LECTIONIS.

noli tamen ea adversus sententiam meam dicere, ut per stragula picta incedere recuses. Respondens Agamemnon negat se commissurum, ut propter uxoris studium sententiam mutet.

v. 934. τέλος] θέλων corr. Pauw. γ᾽ ἔπος Heath.

v. 935. 936. δοκεῖ — δοκεῖ] Utroque loco in edd. est δοκῇ. Priore jam Stanl. correctum volebat, sed altero quoque corrigendum. Repugnant Pauwius Heathiusque, quia non viderunt particulam ἂν h. l. non ad δοκεῖ, sed ad infinitivum pertinere, priore versiculo suppressum, posteriore diserte enuntiatum, cui scil. futuri obliqui significationem addit. Quaerit enim Clytaemnestra: *Quid tibi videtur Priamus facturus fuisse, si superior discessisset?* τί σοι δοκεῖ ἂν scil. ποιῆσαι. Respondet Agamemnon: *Utique mihi videtur in pictis tapetibus ambulaturus fuisse,* βῆναι ἄν.

v. 937. αἰδεσθεὶς] Minime cum Stanlejo et Pauwio reponendum αἰδεσθῇς. Re-

ΑΓΑΜΕΜΝΩΝ.

Φήμη γε μέντοι δημόθρους μέγα σθένει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

ΑΓΑΜΕΜΝΩΝ.

Οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.

ΑΓΑΜΕΜΝΩΝ.

Ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.

ΑΓΑΜΕΜΝΩΝ.

Ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
Λύοι τάχος, πρόδουλον ἔμβασιν ποδός.
Σὺν ταῖσδε μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
Μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
Πολλὴ γὰρ αἰδὼς δωματοφθορεῖν, ποσὶν

VARIETAS LECTIONIS.

fertur enim participium illud ad verbum rectum, quod, quia celerius orationem interrumpebat Agamemnon, proloqui non poterat regina. Atque sic et Heathio visum.

v. 948. πολλὴ γὰρ αἰδὼς δωματοφθορεῖν] In edd. erat σωματοφθορεῖν, quod cum alienum esse videret Stanl., suasit, ut rescriberetur στρωματοφθορεῖν. Quod quamquam seorsim spectanti valde blanditur, tamen, si cum sequentibus comparetur, tautologiam importat Aeschylo minime dignam.

Φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
Τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρευμενῶς
Τήνδ' ἐςκόμιζε. Τὸν κρατοῦντα μαλθακῶς
Θεὸς πρόσωθεν εὐμενῶς προςδέρκεται.
Ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
Αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον
Ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
Ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
Εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἔστιν θάλασσα (τίς δέ νιν κατασβέσει;)
Τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον

Κη-

VARIETAS LECTIONIS.

σωματοφθορεῖν ſic defenditur ab Heathio, ut ſit *corpus luxu corrumpere.* Audio. Sed quomodo id cum antecedentibus cohaereat, quaerendum. Jam verſu proxime praecedente profeſſus erat Agamemnon, ſe ſaltem nudis pedibus tapeta calcaturum, ne deorum invidiam et indignationem adverſus ſe excitaret. Non igitur h. l. conveniebat, ut rex vereretur, ne corpus luxu, ſed ne domum faſtu ſuo perderet, ira deorum adverſus eam commota. Itaque unice verum videtur *δωματοφθορεῖν*, e quo propter viciniam literae Σ in fine vocabuli *αἰδὼς* facile *σωματοφθορεῖν* effecerunt librarii.

v. 950. *τούτων μὲν οὕτως*] Non placet Pauwii ratio, qui hoc ita explicat, q. d. *περὶ τούτων μὲν οὕτως.* Scripſiſſe mihi videtur poëta: *τοῦτ' οὖν μὲν οὕτως*, vel *ταῦτ' οὖν μὲν οὕτως.*

v. 959. *ἰσάργυρον*] Sic Salmaſius emendavit, elegantiſſime et ut mihi quidem perſuaſi, veriſſime. Vulg. *εἰς ἄργυρον.*

Κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
Οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ·
Ἔχειν, πένεσθαι δ' οὐκ, ἐπίσταται δόμος.
Πολλῶν πατησμὸν δ' εἱμάτων ἂν εὐξάμην
Δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,
Ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη.
Ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους
Σκιὰν ὑπερτείνασα σειρίου κυνός.
Καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν
Θάλπος μὲν ἐν χειμῶνι σημαίνεις δόμοις·

VARIETAS LECTIONIS.

v. 963. δ' εἱμάτων] Ineptissimam lectionem δειμάτων tamen in textu tolerarunt Canterus, Stanl., Pauwius, quamvis omnes intelligerent verum esse δ' εἱμάτων.

v. 965. κόμιστρα — μηχανωμένη] Sic recte emendandum duxit Stanlejus vulgatam κόμιστρα — μηχανωμένης. Abreschii enim correctio μηχανωμένη aliena ab h. l. est.

v. 969. σημαίνεις δόμοις] Turpissimam tautologiam hic invexerant librarii, a nemine adhuc animadversam. In edd. enim erat σημαίνεις μολών; Quis autem non offendatur hac ratione dicendi σοῦ μολόντος θάλπος σημαίνεις μολών. Saepe autem, praesertim in clausulis versiculorum, accidit, ut librarii, quibus vocabulum aliquod e versibus proxime antecedentibus obversaretur, illud, obliterato vero, repeterent. Hoc loco autem certissimum est, poëtam scripsisse σημαίνεις δόμοις. Quemadmodum enim sequentibus versiculis dicitur ψῦχος ἐν δόμοις πέλει ἀνδρὸς τ. δῶμ' ἐπιστροφωμένου, sic h. l. dicendum erat, σοῦ μολόντος δωματῖτιν ἑστίαν θάλπος — σημαίνεις δόμοις. Itaque hic non vereor, ne quis quod rescripserim δόμοις pro vulg. μολὼν ingenio me plus quam veritati tribuisse queratur.

Ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
Οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει
Ἀνδρὸς τελείου δῶμ' ἐπιστροφωμένου.
Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
Μέλοι δέ σοί τι τῶνπερ ἂν μέλλῃς τελεῖν.

ΧΟΡΟΣ. ΚΑΣΑΝΔΡΑ.

ΧΟΡΟΣ.

στροφὴ ά. Τίπτε μοι τόδ' ἐμπέδως
Δεῖμα προστατήριον
Καρδίας τερασκόπου ποτᾶται,
Μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά,
Οὐδ' ἀποπτύσας, δίκαν
Δυσκρίτων ὀνειράτων,
Θάρ-

VARIETAS LECTIONIS.

v. 970. Ζεὺς] Edd. Ζεύς τ'. Copulam, nec ad sententiam, nec ad metrum necessariam, expunximus, jam ab Abresohio Pauwioque damnatam.

v. 974. σοί τι] Vulg. τί σοι, quod metrum pervertere primus observavit Pauwius. Eidem tamen non concedo pro μέλλῃς legendum esse μέλλω; sic enim insidias marito structas nimis prodidisset Clytaemnestra. Nec magis cum eodem τελεῖν in στελεῖν mutem; h. l. enim repetitio ejusdem verbi gravitatem habet ac sensum illuminat.

v. 976. δεῖμα] Vulg. δεῖγμα. Steph. conj. δῆγμα. δεῖμα e Stanleji emendatione.

v. 979. ἀποπτύσας] ἀποπτύσαν conj. Pauw. ut cum θάρσος construatur.

Θάρσος εὐπιθὲς ἵζει
Φρενὸς φίλον θρόνον;
Χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοις
Ψαμμίας ἀκάτας πα-
ρήψεν, εὖθ' ὑπ' Ἴλιον
Ὦρτο, ναυβάτας στρατός.
ἀντιστρ. α. Πεύθομαι δ' ἀπ' ὀμμάτων
Νόστον, αὐτόμαρτυς ὤν.
Τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
Θρῆνον Ἐριννύος αὐτοδίδακτος ἔσωθεν
Θυμός, οὐ τὸ πᾶν ἔχων
Ἐλπίδος φίλον θράσος·
Σπλάγχνα δ' οὔτι ματάζει·
Πρὸς ἐνδίκοις φρεσὶν
Τελεσφόροις δίναις κυκλούμενον κέαρ.

VARIETAS LECTIONIS.

v. 981. θάρσος εὐπιθὲς ἵζει] θάρσος εὐπειθὲς ἵξεν idem; ſed minus bene. θ. εὐπ. ἵζει dedit Bothius.

v. 983. χρόνος δ' ἐπεὶ] χρόνος γ' ἐπεὶ Pauw.

v. 984 ſq. παρήψεν] Vulg. παρήβησεν. Stanl. opinabatur ἐπὶ pro ἐπεὶ legendum, hac interpretatione uſus: *tempus diuturnum* (decennale) *putrefecit naves in arenis ſtantes, ancoris detentas, cum adverſus Ilium profecta eſt claſſis.* Pauw. emend. παρ — βησεν pro παρέβησεν. Nos Heathii emendationem in textum adſcivimus.

v. 990. ὅμως] ex certiſſima Stanl. emendatione. In edd. ὅπως.

v. 993. οὔτι] Hoc metrum et ſenſus poſtulat. Vulg. οὔτοι.

v. 994. πρὸς ἐνδίκοις] Copulam hic deſidero. Metrum certe nihil impedit, quo minus ſcribatur πρὸς ἐνδίκοις δὲ φρεσίν.

Εὔχομαι δ' ἀπ' ἐμᾶς τιν'
Ἐλπίδος ψυθῆ πεσεῖν
Ἐς τὸ μὴ τελεσφόρον.
στροφὴ β'. Μάλα γάρ τὸ τᾶς πολλᾶς
Ὑγιείας ἀκόρεστον
Τέρμα. Νόσος γὰρ
Γείτων ὁμότοιχος ἐρείδει.
Καὶ πότμος εὐθυπορῶν
* * * ἀνδρὸς ἔπαισ'
Ἄφαντον ἕρμα.
Καὶ πρὸ μὲν τὸν χρημάτων
Κτησίων ὄγκον βαλών,

Σφευ-

VARIETAS LECTIONIS.

v. 996. τιν'] Recte ſic Heathius emend. pro vulg. τι.

v. 999. μάλα γάρ τὸ τᾶς πολλᾶς] Vulgo μάλα γάρ τοι τᾶς πολλᾶς, qui verſus eſſet anapaeſticus dim. brachycatal. Sed ad hanc normam redigi non poteſt antiſtrophicus. Itaque τοι vel in τὸ mutandum, vel in τε, quod ſi placuerit cum ſequenti καὶ copulandum. Magis autem nobis probatur τὸ. Utroque modo efficitur verſiculus jamb. dim. brachycatal.

v. 1000. ὑγιείας ἀκόρεστον] ἀκόρεστον τέρμα difficillimam habet explicationem. Optime ad ſenſum conveniret ἀχάριστον.

v. 1004. Aliquid hic deeſſe, metrum pariter ac ſententia facile prodit. Et Heathius quidem poſt hunc verſum integrum verſiculum excidiſſe putabat; nimirum quia ei v. 1022. illa ἐπ' εὐλαβείᾳ γ' genuina videbantur. Nos praeter unum vocabulum triſyllabum nihil deſideramus; forte autem omiſſum eſt πολλάκις ante ἀνδρός.

v. 1006 ſq. καὶ πρὸ μὲν τὸν χρημάτων Κτησ.] Vulg. καὶ τὸ μὲν πρὸ χρημάτων Κτη-

Σφενδόνας ἀπ' εὐμέτρου,
Οὐκ ἔδυ πρόπας δόμος
Πημονᾶς γέμων ἄγαν,
Οὐδ' ἐπόντισε σκάφος.
Πολλά τοι δόσις ἐκ Διὸς
Ἀμφιλαφής τε καὶ
Ἐξ ἀλόκων ἐπετειᾶν
Νῆστιν ὤλεσεν νόσον.

ἀντιστρ. β'. Τὸ πεσὸν δ' ἅπαξ ἐπὶ γᾶν
Προπάροιθ' ἀνδρὸς θανάσιμον

VARIETAS LECTIONIS.

σίων ὄκνον βαλών, qua in lectione ὄκνον rei qua de agitur, minime convenit. Stanleji correctio καὶ τὸν μὲν — ὄκνον βαλὼν nec illud incommodum e medio tollit, et metrum pervertit; cum enim versus sit trochaicus, primum pedem e trochaeo spondeum facit. Itaque ut utrumque vitaremus, rescribendum duximus: καὶ πρὸ μὲν τὸν χρημάτων κτησίων ὄγκον βαλών. In πρὸ μὲν βαλὼν tmesis est pro προβαλὼν μέν; et hoc participium nominativus est consequentiae. Heathius emendat: καὶ τὸ μὲν προχρημάτων κτ. ἄχθος βαλών. Pauwii vero inventum καὶ τὸ μὲν πρόχρημα — ὄκνος βαλὼν dignum non est, quod memoretur.

v. 1016. 1017. In edd. Vict. Cant. Stanl. hi versus ita constituti sunt:

τὸ δ' ἐπὶ γᾶν πέσονθ' ἅπαξ
Θανάσιμον προπάροιθ' ἀνδρός,

ubi tamen nec metrum strophicis convenit et πεσόνθ' corruptum est. Heathius, qui strophicos appositos ita ordinaverat:

Μάλα γάρ τοι τᾶς
Πολλᾶς ὑγιείας ἀκόρεστον,

ut prior esset basis anapaestica, posterior anapaesticus dimeter, antistrophicos hoc modo refingit:

Τὸ πεσὸν δ' ἐπὶ γᾶν
Θανάσιμον ἅπαξ προπάροιθ' ἀνδρός,

Μέλαν αἷμα τίς ἂν
Πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
Οὐ δὲ τὸν ὀρθοδαῆ
Τοὺς φθιμένους ἀνάγειν
Ζεὺς αὖτ' ἔπαυσεν;
Εἰ δὲ μὴ τεταγμένα

Μοῖρα

VARIETAS LECTIONIS.

ita ut primam in θανάσιμον h. l. produci exiſtimet. Verum hac ratione ordo verborum fit intricatus et parum venuſtus, ἅπαξ enim, quod proxime cum πεσὸν cohaeret, nimis longe ab ab eo rejicitur. Itaque melius expediiſſe nobis hanc difficultatem videmur, verſibus ita ut fecimus in textu conſtitutis; quo facto prior eſt jambic. dim. brachycatal. et poſterior anapaeſtic. dimet. brachycatal. tertium pedem habens proceleuſmaticum.

v. 1020 ſqq. Stanl. malebat:

οὐ δὲ τὸν ὀρθοδαῆ
τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὖτ' ἔπεισ'.

q. d. *ne vel ipſe Jupiter perſuaſerit inferorum judicem, ut mortuos in lucem remittat*; ſententia quidem ſatis bona, ſed quae e verbis elici non poteſt. Quomodo enim ὀρθοδαῆ τῶν φθιμένων *inferorum judicem* ſignificare poſſit, non intelligitur. Cum autem vulgo legeretur οὐδὲ, nos οὐ δὲ dedimus, et poſt ἔπαυσεν ſignum interrogandi poſuimus, quod aperte ſententia flagitabat.

v. 1021. τοὺς φθιμένους] Ita correxi vulg. τῶν φθιμένων, quod conſtructioni verborum et ipſi quoque ſententiae repugnabat.

v. 1022. ἔπαυσεν] Poſt haec verba vulgo in omnibus aſſuuntur iſta: ἐπ' εὐλαβείᾳ γ'. Sed ea delenda eſſe recte judicavit Canterus. Namque non magis metrum quam ſententiam corrumpunt, et ſcholium potius quam carmen ſapiunt. Itaque expunximus.

Μοῖρα Μοῖραν ἐκ θεῶν
Εἶργε μὴ πλέον φέρειν,
Προφθάσασα καρδία
Γλῶσσαν ἂν τάδ᾽ ἐξέχει.
Νῦν δ᾽ ὑπὸ σκότῳ βρέμει,
Θυμαλγής τε καὶ οὐδὲν ἐ-
πελπομένα ποτὲ
Καίριον ἐκτολυπεύσειν,
Ζωπυρουμένας φρενός.

ΧΟΡΟΣ. ΚΑΣΑΝΔΡΑ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Εἴσω κομίζου καὶ σύ· Κασάνδραν λέγω.
Ἐπεί σ᾽ ἔθηκε Ζεὺς ἀμηνίτοις δόμοις
Κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα
Δούλων, σταθεῖσαν κτησίου βωμοῦ πέλας,
Ἔκβαιν᾽ ἀπήνης τῆσδε· μηδ᾽ ὑπερφρόνει.
Καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ

Πρα-

VARIETAS LECTIONIS.

v. 1024. μοῖρα Μοῖραν] μοῖρα μοῖραν conj. Pauwius, inepte.

v. 1029. 1030. In edd. ita collocati:

θυμαλγής τε καὶ οὐδὲν
ἐπελπομένα ποτέ.

Meliorem vero verſuum diſtinctionem praecepit Stanlejus in notis, cui paruimus, ut uterque Strophico ſuo aequaretur.

v. 1034. ἀμηνίτοις] Recepi Aurati, quam Stanl. attulit, emendationem; quae ſequentibus optime convenit. Vulg. ἀμηνίτως, ſenſu inepto.

Πραθέντα τλῆναι, καὶ ζυγῶν θίγειν βίᾳ.
Εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιῤῥέποι τύχης,
Ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
Οἳ δ', οὔποτ' ἐλπίσαντες, ἤμησαν καλῶς,
Ὠμοί τε δούλοις πάντα καὶ παρὰ στάθμην.
Ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.

ΧΟΡΟΣ.

Σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
Ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων
Πείθοι' ἄν, εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἀλλ' εἴπερ ἐστὶ μή, χελιδόνος δίκην,
Ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη
Ἔσω φρενῶν λέγουσα, πείθω νιν λόγῳ.

ΧΟΡΟΣ.

Ἕπου, τὰ λῷστα τῶν παρεστώτων λέγει.
Πείθου λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.

ΚΑΥ-

VARIETAS LECTIONIS.

v. 1042. οἵ] Jure ſic edi voluit Stanl. pro vulg. οἱ.

v. 1044. ἔχεις] Specioſa eſt Stanleji emendatio, cui tamen ipſe non multum tribuit, ἕξεις, hoc ſenſu: *habebis apud nos, quodcunque tibi conveniens erit.*

v. 1048 – 1050. ſic nobis emendandi videntur:

Ἀλλ' εἴπερ ἔστι μὴ χελιδόνος δίκην
Ἀγνῶτα φωνὴν βάρβαρον φρενῶν ἔσω
Κεκτημένη, λέγουσα πείθω νιν λέγειν.

De ſenſu conſule Comment. ad h. l.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
Τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
Ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
Ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
Σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
Εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον,
Σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.

ΧΟΡΟΣ.

Ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
Δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
Ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
Ἥκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
Πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
Οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.

VARIETAS LECTIONIS.

v. 1065. In hoc verſu finitur lacuna, quae inde a v. 320 eſt in Guelf. Ald. Rob. Turn. ἐξαφρίζεσθαι] ἐξ ἀφρίζεσθαι Ald.

v. 1066. ῥίψασ'] ῥίψας Turn. ἀτιμασθήσομαι] ἀτιμωθήσομαι Ald. Turn. ἀτιμεστρήσομαι Rob.

XO-

ΧΟΡΟΣ. ΚΑΣΑΝΔΡΑ.

ΧΟΡΟΣ.

Ἐγὼ δ', ἐποικτείρω γὰρ, οὐ θυμώσομαι.
Ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
Εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ α. Ὀτοτοτοτοτοῖ, ποποῖ δᾶ.
Ἄπολλον, Ἄπολλον.

ΧΟΡΟΣ.

Τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
Οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.

ΚΑΣΑΝΔΡΑ.

ἀντιστρ. α. Ὀτοτοτοτοτοῖ, ποποῖ δᾶ.
Ἄπολλον, Ἄπολλον.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1068. ἴθ'] ἴσθ', Victor. Cant. Stanl. Sed ita, ut fecimus, corrigendum esse, recte Canterus intellexit. Et jam in Ald. Rob. Turn. sic legebatur. ἐρημώσασ'] In Ald. vitiose ἐρημόσας.

v. 1069. εἴκουσ'] Sic Rob. ex emendatione. In Ald. Turn. Victor. etc. ἑκοῦσ' male. ἀνάγκῃ τῇδε] ἀνάγκῃ, τῇ δὲ Turn. καίνισον] Cant. emend. κ' αἴνησον. In Ald. καὶ νίσον.

v. 1071. Ἄπολλον Ἄπολλον] ὦπολλον, ὦπολλον. Ald. Rob. Turn.

v. 1072. ἀνωτότυξας] Apud Scholiasten ad Eurip. Phoeniss. 1026. ubi hunc versiculum commemorat, legitur ἀνωλόλυξας.

v. 1075. Ἄπολλον, Ἄπολλον] ὦπολλον ὦπολλον Ald. Rob. Turn.

ΧΟΡΟΣ.

Ἡ δ' αὖτε δυςφημοῦσα τὸν θεὸν καλεῖ
Οὐδὲν προςήκοντ' ἐν γόοις παραστατεῖν.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ β'. Ἄπολλον, Ἄπολλον.
Ἀγυιεῦ τ' ἀπόλλων ἐμός.
Ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.

ΧΟΡΟΣ.

Χρήσειν ἔοικεν ἀμφὶ τῶν αὐτῆς κακῶν.
Μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.

ΚΑΣΑΝΔΡΑ.

ἀντιςρ. β'. Ἄπολλον, Ἄπολλον.
Ἀγυιεῦ τ' ἀπόλλων ἐμός.
Ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;

ΧΟΡΟΣ.

Πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τάδ' ἐννοεῖς,
Ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ γ'. Μισόθεον μὲν οὖν; πολλὰ ξυνίστορα

Αὐτό-

VARIETAS LECTIONIS.

v. 1077. ἐν γόοις] In Ald. corrupte εὐγυγόοις.

v. 1079. Ἀγυιεῦ] ἀγυιὰ Ald.

v. 1081. χρήσειν] κλάειν Turn.

v. 1082. περ ἐν φρενὶ] παρ' ἐν φρενὶ Ald. Turn. παρὲν φρενί, pro quo Stanl. corrigebat παρὸν φρενί, quod tamen jam est in Rob. Melius autem et concinnius est, ut opinor, περ ἐν φρενί.

Αὐτόφονα κακὰ κἀρτάνας,
Ἀνδρὸς σφαγεῖον καὶ πέδου ῥαντήριον.

ΧΟΡΟΣ.

Ἔοικεν εὖριν ἡ ξένη κυνὸς δίκην
Εἶναι, ματεύει δ' ὧν ἐφευρήσει φόνον.

ΚΑΣΑΝΔΡΑ.

ἀντιστρ. γ'. Μαρτυρίοις γὰρ τοῖσδε πείθομαι·
Κλαιόμενα τάδε βρέφη σφαγάς,
Ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.

ΧΟΡΟΣ.

Ἤισμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι,
Ἤισμεν, προφήτας δ' οὔτινας ματεύομεν.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ δ'. Ἰὼ ποποῖ, τί ποτε μήδεται;
Τί τόδε νέον ἄγος μέγα

Μέγ'

VARIETAS LECTIONIS.

v. 1089. κἀρτάνας] Ita scribendum esse divinavit Stanl. Antea legebatur κ' ἀρτάναι.

v. 1090. σφαγεῖον] Sic Turn. Alii σφάγιον. πέδου] Vulg. πέδον.

v. 1091. εὖριν] εὖρις Rob. Turn.

v. 1092. ματεύει] μαντεύει Ald. Rob. ὧν ἐφευρήσει] ὧν ἂν εὑρήσει Ald. ὧν ἂν εὑρήσῃ Rob. ὧν ἂν ἀνευρήσῃ Turn.

v. 1093. πείθομαι] πεπείθομαι Ald. Rob. mendose.

v. 1096 sq. ἤσμεν — ἤσμεν] ἦμεν — ἦ μὴν Ald. Turn. ἦμεν — ἦμεν Rob.

v. 1097. ματεύομεν] μαστεύομεν Rob. Turn.

v. 1099. ἄγος] Sic recte Bothius. Vulgo ἄχθος. Stanlejus conj. ἔχθος. At Heathius, melius, inquit, hic convenit vulgatum ἄχθος, praesertim adjuncto νέον. Odium certe Clytaemnestrae erga maritum non erat novum, sed jam olim in-

Μέγ' ἐν δόμοισι τοῖςδε μήδεται κακόν,
Ἄφερτον φίλοισι, δυςίατον;
Ἀλκὰ δ' ἑκὰς ἀποστατεῖ.

ΧΟΡΟΣ.

Τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων.
Ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ βοᾷ πόλις.

ΚΑΣΑΝΔΡΑ.

ἀντιστρ. δ'. Ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς,
Τὸν ὁμοδέμνιον πόσιν
Λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
Τάχος γὰρ τόδ' ἔσται. προτείνει δὲ
Χεῖρ' ἐκ χειρὸς ὀρεγομένα.

ΧΟΡΟΣ.

Οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
Ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΚΑ-

VARIETAS LECTIONIS.

ceperat a tempore immolatae Iphigeniae, quod vatem latere non debebat.

v. 1101. 1102. Vulg. post δυςίατον commate posito, legitur ἀλκὰν δ' ἑκὰς ἀποστατεῖ. At cum ἀποστατεῖν non significet *ablegare*, sed *abesse*, ἀλκὰν in ἀλκὰ mutandum, quod etiam in Ald. Rob. apparet, et aliter atque in edd. factum est, distinguendum fuit.

v. 1109. χεῖρ'] Sic Guelf. Ald. Turn. Reliquae edd. χεὶρ. Cl. Legrand conj. προτείνεται χείρ.

v. 1110. νῦν] forte verius θήν.

v. 1111. ἐπαργέμοισι] ἐπ' ἀργέμοισι Turn.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ ε'. Ἒ, ἔ.

Παπαῖ παπαῖ; τί τόδε φαίνεται;
Ἦ δίκτυόν τι γ' ἀΐδου;
Ἀλλ' ἄρκυς ἡ ξύνευνος ἡ ξυναιτία
Φόνου. Στάσις δ' ἀκόρεστος γένει
Κατολολυξάτω θύματος λευσίμου.

ΧΟΡΟΣ.

στροφὴ ς'.

Ποίαν ἐριννὺν τήνδε δώμασιν κέλει
Ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
Ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
Σταγὼν, ἅτε καὶ δορὶ πτωσίμοις
Ξυνανυτεῖ βίου δύντος αὐγάς.
Ταχεῖα δ' ἄτα πέλει.

ΚΑ-

VARIETAS LECTIONIS.

v. 1116. θύματος λευσίμου] θύματι λευσίμου Turn.

v. 1117. 1118. in Turnebiana sic leguntur:

Ποίαν ἐριννὺν τήνδε δώμασιν καλεῖ
Ἐπορθιάζων· οὔ με φαιδρύνει λόγος.

Vulgata autem vera est, nisi forte ante ἐπορθιάζειν praefigendum sit μ'.

v. 1119. ἔδραμε] ἔδραμαι vitiose Turn.

v. 1120. δορὶ πτωσίμοις] Sic emendandum censuit Stanlejus, pro vulg. δόρια πτώσιμος. Rob. δερία πτώσιμος. Heathius δόρια πτώσιμος servandum, αὐγαῖς autem in αὐγὰς mutandum esse arbitrabatur, q. d. *atque etiam captiva haec humi procumbens una deliquio perdit vitae occidentis splendores.* Fingit nimirum Cassandram post v. 1116. animi deliquium passam, et collapsam esse. Verum hoc figmento prorsus nihil opus est, si Stanleji rationem teneamus.

v. 1121. ξυνανυτεῖ] ξυνανυτεῖ Ald. Rob. Turn. αὐγὰς] αὐγαῖς Vulg.

ΚΑΣΑΝΔΡΑ.

ἀντιστρ. ε'. Ἆ, ἆ.
Ἰδού, ἰδού· ἄπεχε τῆς βοὸς
Τὸν ταῦρον· ἐν πέπλοισιν
Μελαγκέρῳ λαβοῦσα μηχανήματι
Τύπτει, πιτνεῖ δ' ἐνύδρῳ τεύχει.
Δολοφόνου δὲ λέβητος τύχαν σοὶ λέγω.

ΧΟΡΟΣ.

ἀντιστρ. ς'.
Οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
Εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
Ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
Βροτοῖσι στέλλεται; κακῶν δὴ γὰρ
Αἱ πολυεπεῖς τέχναι θεσπιῳδῶν
Φόβον φέρουσι μαθεῖν.

ΚΑΣΑΝΔΡΑ.

στροφὴ ζ. Ἰώ, ἰώ.
Ταλαίνας κακόποτμοι τύχαι.

VARIETAS LECTIONIS.

v. 1126. μελαγκέρῳ] μελαγκέρω Rob. μελάγχροον conj. Pauw. Vulg. μελαγκέρων.

v. 1127. πιτνεῖ] πίπτει Turn. ἐνύδρῳ τεύχει] Cl. Legrand conj. ἐν ὑγρῷ τεύχει.

v. 1132. βροτοῖσι στέλλεται] βροτοῖς στέλλεται Ald. Turn. Invertenda verba censet Pauwius ob metrum. Post στέλλεται vulg. punctum ponebatur. Interrogationis autem notam a sensu postulari viderunt Pauwius Heathiusque. κακῶν δὴ γὰρ αἱ] κάκων γὰρ διὰ Ald. Turn. In cett. κ. γ. δὴ αἱ.

v. 1133. πολυεπεῖς] πολυεπεῖς Ald. Rob. Turn. θεσπιῳδῶν] Vere sic emenda-

Τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπαγχέασα.
Ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
Οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. Τί γάρ;

ΧΟΡΟΣ.

στροφὴ ή. Φρενομανής τις εἶ θεοφόρητος, ἀμ-
φὶ δ' αὐτᾶς θροεῖς
Νόμον ἄνομόν γ', οἷά τις ξουθὰ
'Ακόρεστος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν
"Ιτυν "Ιτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
'Αηδὼν βίον.

ΚΑΣΑΝΔΡΑ.

ἀντιστρ. ζ. 'Ιώ, 'Ιώ,
Λιγείας ἀηδόνος μόρον·

Παρέ-

VARIETAS LECTIONIS.

vit Stanl. pro vulg. θεσπιῳδόν.

v. 1137. θροῶ] θροᾶ Turn. ἐπαγχέασα] ἐπεγχέασα Ald. Rob.

v. 1139. οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην] οὐδέν ποτ' εἰμι ξ. Ald. οὐδέν ποτ' εἰμί, ξυνθανουμένην; Turn. οὐ δέ ποτ' εἰ μὴ Vict. etc. οὐ δή ποτ' εἰ μὴ conj. Heath.

v. 1140. Φρενομανής τις εἶ θεοφ.] Φρενομανής τις ἢ θεοφόρητος Turn.

v. 1141. αὐτᾶς] αὐτᾶς Turn.

v. 1142. ἄνομόν γ'] Sic monente Abreschio, hiatus vitandi causa, et quod metro antithetici aptius est, pro vulg. ἄνομόν γε rescripsimus.

v. 1143. ἀκόρεστος] ἀκόρετος Ald. βοᾶς] βοῦς Rob. βοᾷς Turn. φεῦ] Sic Ald. Rob. Turn. recte. In reliquis est φιλοίκτοις, quod metrum antithetici non admittit; e glossemate natum. ταλαίναις] ταλαίνας Ald. Rob. Turn.

Παρέβαλον γάρ οἱ πτεροφόρον δέμας
Θεοί, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
Ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.

ΧΟΡΟΣ.

ἀντιστρ. η. Πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις
Ματαίους δύας,
Τὰ δ' ἐπιφόβῳ δυσφάτῳ κλαγγᾷ
Μελοτυπεῖς, ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις;
Πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
Κακορρήμονας;

ΚΑΣΑΝΔΡΑ.

στροφὴ θ'.
Ἰὼ γάμοι, γάμοι Πάριδος ὀλέθριοι
Φίλων. Ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
Τότε μὲν ἀμφὶ σὰς αἰόνας τάλαι-
ν' ἠνυτόμαν τροφαῖς.

VARIETAS LECTIONIS.

v. 1148. παρέβαλον] περιβάλλοντο Ald. παρεβάλοντο Rob. Cet. περιβάλοντο.

v. 1149. αἰῶνα] Scholiastes: γρ. ἀγῶνα. Et sic Ald. Rob.

v. 1152. ματαίους δύας] ματαίους δ' οἳ Turn.

v. 1153. ἐπιφόβῳ] ἐπὶ φόβῳ Ald.

v. 1154. ἐν νόμοις] ἐννόμοις Ald.

v. 1155. θεσπεσίας] Sic Turn. θεσπετίας Ald. θεσπίας Rob.

v. 1160. Reliqua pars huius tragoediae, quae hunc versum excipit, in Guelf. Ald. Rob. Turn. abest; et in Aldina quidem, Turn. it. Guelf. statim sequitur versus ex Choëphoris τί χρῆμα λεύσσω; nulla defectus nota addita, ac titulo quoque Agememnonis per totam Choëphororum tragoe-

Νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
Ὀχθοὺς ἔοικα θεσπιῳδήσειν τάχα.

ΧΟΡΟΣ.

στροφὴ ι'. Τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω,
Νεογνὸς ἂν ἀνθρώπων μάθοι.
Πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ,
Δυςαλγεῖς τύχας μινυρὰ θρεομένας,
Τραύματ' ἐμοί, κλύων.

ΚΑΣΑΝΔΡΑ.

ἀντιςρ. θ'.
Ἰὼ πόνοι, πόνοι πόλεως ὀλουμένας
Τοπᾶν. Ἰὼ πρόπυργοι θυσίαι πατρὸς
Πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος
Δ' οὐδὲν ἐπήρκεσαν,
Τὸ μὴ πόλιν μὲν ὥςπερ οὖν ἔχει παθεῖν.
Ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέσω βόλῳ.

ΧΟ-

VARIETAS LECTIONIS.

diam ſervato. In Robort. idem quidem defectus; ſed tamen huic verſiculo nota editoris ſubjungitur, qua multa hic deeſſe, et quae ſequantur ex tragoedia χοηφορων eſſe monetur. Ceterum et hanc lacunam e codicibus explevit Victorius.

v. 1165. δήγματι] Stanl. conj. δείματι. Poſt ὑπαὶ autem excidiſſe ſtatuo vocabulum πραπίδων, vel ſimile, cujus defectum etiam antiſtrophici verſus menſura prodit. Sic non opus eſt cum Cantero Heathioque ὑπαὶ in ἧπαρ mutare.

v. 1166. δυςαλγεῖς τύχας μινυρὰ θρεομένας, τραύματ' ἐμοί, κλύων] Ita correxi vulg. δυςαλγεῖ τύχᾳ μινυρὰ κακὰ θρεομένας θραύματ' ἐμοὶ κλύειν.

v. 1173. vulgo corruptus legebatur: ἐγὼ δὲ θερμόνους τάχ' ἐμπέδῳ βαλῶ. Canterus conj. ἐγὼ δὲ θερμὸν οὖς τάχ' ἐν πέδῳ βαλῶ. Jacobus

ΧΟΡΟΣ.

ἀντιστρ. ι'. Ἑπόμενα προτέροισι τάδ' ἐφημίσω·
Καὶ τίς σε καὶ κακοφρονεῖν
Τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνῶν
Μελίζειν πάθη γοερὰ θανατοφόρα;
Τέρμα δ' ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

Καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
Ἔσται δεδορκὼς, νεογάμου νύμφας δίκην·
Λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
Πνέων ἐσήξειν, ὥστε κύματος δίκην
Κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
Μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
Καὶ μαρτυρεῖτε ξυνδρόμως ἴχνος κακῶν

VARIETAS LECTIONIS.

teste Stanl. ἐγὼ δὲ θερμὸν ὡς τάχ' ἐν πέδῳ βαλῶ. Equidem nunc recepi Bothii emendationem ceteris praeferendam, quamquam ne ipsam quidem satis certam.

v. 1174. προτέροισι] Sic auctore Pauwio edidi pro vulg. προτέροις, ne metrum strophici oppositi dispar esset. Uterque enim est jamb. dim. hypercatal.

v. 1175. καὶ τίς σε καὶ] Pauwius emendabat καὶ τίς σε, παῖ, quod nec mihi quidem displicet. κακοφρονεῖν] Malim κακοφρονῶν.

v. 1176. δαίμων] Hoc vocabulum, quod abesse commode non potest, injuria damnavit Heathius, quia hic versus pro mensura strophici v. 1165. duabus syllabis abundare videtur. At h. l. nihil superfluum est; sed ibi, ut vidimus, vox duarum aut trium syllabarum in codd. periit.

v. 1183. κλύζειν] Sic emendavi pro κλύειν, quod ab h. l. alienum est.

Ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
Τὴν γὰρ στέγην τήνδ᾽ οὔποτ᾽ ἐκλείπει χορὸς
Ξύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
Καὶ μὴν πεπωκώς γ᾽, ὡς θρασύνεσθαι πλέον,
Βρότειον αἷμα Κῶμος ἐν δόμοις μένει
Δύςπεμπτος, ἔξω ξυγγόνων Ἐρινύων.
Ὑμνοῦσι δ᾽ ὕμνον δώμασι προςήμεναι
Πρώταρχον ἄτην· ἐν μέρει δ᾽ ἀπέπτυσαν
Εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυςμενεῖς.
Ἥμαρτον, ἢ θηρῶ τι τοξότης τὶς ὥς;
Ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
Ἐκμαρτύρησον προυμόσας τό μ᾽ εἰδέναι
Λόγῳ παλαιὰς τῶνδ᾽ ἁμαρτίας δόμων.

ΧΟΡΟΣ.

Καὶ πῶς ἂν ὅρκου πῆγμα γενναίως παγὲν
Παιώνιον γένοιτο; θαυμάζω δέ σου
Πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν,
Κυρεῖν λέγουσαν, ὥςπερ εἰ παρεστάτεις.

ΚΑ-

VARIETAS LECTIONIS.

v. 1186. ῥινηλατούσῃ] Vere ſic emendari juſſit Stanlejus. Vulg. ῥινηλατούσης.

v. 1188. ξύμφθογγος.] In edd. eſt σύμφθογγος.

v. 1190. Κῶμος] Ita ſcribendum, non ut vulg. κῶμος.

v. 1190 ſq. Recte quidem Pauwius comma poſt μένει tollendum eſſe intellexerat; idem tamen erravit, κῶμος cum ξυγγόνων Ἐριννύων conſtrui ſibi perſuadens; adeoque δύςπεμπτος cum ἔξω conjungens.

v. 1199. ὅρκου πῆγμα] Sic dudum emendaveram pro vulg. ὅρκος πῆμα, antequam idem Aurato Stanlejoque placuiſſe vidiſſem.

ΚΑΣΑΝΔΡΑ.

Μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.
Προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.

ΧΟΡΟΣ.

Μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;

ΚΑΣΑΝΔΡΑ.

Ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.

ΧΟΡΟΣ.

* * * * * * * * * *

ΚΑΣΑΝΔΡΑ.

Ἀλλ' ἦν παλαιστής, κάρτ' ἐμοῦ πνέων χάριν.

ΧΟΡΟΣ.

Ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτον νόμῳ;

ΚΑΣΑΝΔΡΑ.

Ξυναινέσασα Λοξίαν ἐψευσάμην.

ΧΟΡΟΣ.

Ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;

ΚΑΣΑΝΔΡΑ.

Ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.

ΧΟΡΟΣ.

Πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;

VARIETAS LECTIONIS.

v. 1212. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;] In edd. laborante sensu est: πῶς δῆτ' ἄνακτος ἦσθα Λοξίου κότῳ. Canterus ἄνακτος in ἄνατος mutandum esse viderat. Abreschio etiam ἄναπτος in mentem venit.

ΚΑΣΑΝΔΡΑ.

Ἔπειθον οὐδέν οὐδέν', ὡς τάδ' ἤμπλακον.

ΧΟΡΟΣ.

Ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.

ΚΑΣΑΝΔΡΑ.

Ἰού, ἰού, ὢ ὢ κακά.
Ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
Στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις,

Ὁρᾶ-

VARIETAS LECTIONIS.

v. 1213. οὐδέν' οὐδὲν] οὐδὲν οὐδὲν Vict. Cant. Stanl. Sed recte jam Canterus monuerat, prius οὐδὲν in οὐδέν' mutandum esse.

v. 1217. φροιμίοις ἐφημίοις] „Hesychius Aeschylum εὐφήμοις γόοις pro *infaustis* per antiphrasin usurpasse monet. Εὐφήμοις γόοις δυςφήμοις κατ' ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ. Id. εὐφημοῦσι· στένουσι, κωλύουσι, κατ' ἀντίφρασιν. Nihil vero hic mutandum; nam etsi non reperitur εὐφήμιος apud Hesychium, tamen ex ipso firmari potest vetus lectio. Alibi enim: Ἐφημίαι, ἀγμοί· καὶ βελτίονα φήμης, et: Ἐφήμως· εὐφήμως." *Stanl.* Quod reliquum est, equidem valde dubito, an Graeci dixerint ἐφημίαι, ἐφήμιος, ἐφήμως, pro εὐφημίαι, εὐφήμιος, εὐφήμως, Hesychiique glossas e corrupta exemplarium lectione subnatas esse suspicor. H. l. certe propter sequentis versiculi clausulam ἐφημένους, facile fuit librario scribere ἐφήμοις pro εὐφημίοις. εὐφημίοις h. l. tuetur etiam Spanhemius ad Callim. h. in Del. v. 89. Optimum autem nobis videtur φροιμίων εὐφημίαις.

Ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
Νέους, ὀνείρων προσφερεῖς μορφώμασιν.
Παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
Χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
Ξὺν ἐντέροις τε σπλάγχν', ἐποίκτιστον γέμος,
Πρέπουσ' ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
Ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
Λέοντ' ἄναλκιν ἐν λέχει στροφώμενον
Οἰκουρόν, οἴμοι, τῷ μολόντι δεσπότῃ
Ἐμῷ. Φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
Νεῶν δ' ἔπαρχος Ἰλίου τ' ἀναστάτης
Οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
Λέξασα, κἀκτείνασα φαιδρόνους, δίκην

Ἄτης

VARIETAS LECTIONIS.

v. 1218 sqq. Quae sequuntur, Cl. Legrand ita corrigenda esse opinabatur:

Ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
Νέους, ὀνείρων προσφερεῖς μορφώμασι,
Παῖδας κτανόντας; ὡσπερεὶ πρὸς τῶν φίλων
Χεῖρας κρεῶν πλήθοντας οἰκείας σπορᾶς,
Σὺν ἐντέροις τε σπλάγχν' ἐποίκτιστον γέμος
Βρέφους ἔχοντας —

Quae quidem sic interpretabatur ille: *Videtisne hosce insidentes aedibus juvenes, somniorum spectris similes liberorum interfectores? velut ab amicis* (epulis adhibitos) *manus implentes carnibus propriae prolis, cumque intestinis viscera* (*miserabilem offam*) *infantis tenentes.* Sed cf. Comm.

v. 1219. Post μορφώμασιν signum interrogandi in aliis ponitur.

v. 1228. Νεῶν δ'] Vulgo Νεῶν τ'. Sed adversativa h. l. requiritur.

v. 1230. κἀκτείνασα] Optime Canterus ita scribendum esse intellexit. Vulg. sine sensu καὶ κτείνασα.

Ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ.
Τοιαῦτα τολμᾷ θῆλυς· ἄρσενος φονεὺς
Ἔστιν. Τί νιν καλοῦσα δυσφιλὲς δάκος
Τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
Οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
Θύουσαν ᾅδου μητέρ', ἄσπονδόν τ' ἀρὰν
Φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξατο
Ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ;
Δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
Καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω, . . . τί γάρ;
Τὸ μέλλον ἥξει. Καὶ σύ μ' ἐν τάχει παρὼν
Ἄγαν γ' ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.

ΧΟΡΟΣ.

Τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
Ξυνῆκα καὶ πέφρικα καὶ φόβος μ' ἔχει,
Κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
Τὰ δ' ἄλλ' ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.

ΚΑΣΑΝΔΡΑ.

Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1233. Male ſic interpungendum cenſet Pauwius: τίς νιν καλοῦσα δυσφιλὲς δάκος, τύχοιμ' ἄν; —

v. 1241. καὶ σύ μ' ἐν τάχει] Vulg. καὶ σὺ μὴν τάχει. Verum neque καὶ μὴν huic loco ſatis convenit, et elegantius eſt ἐν τάχει. Itaque μ' ἐν auctore Abreſchio recepimus.

v. 1242. Pauwius mavult: Ἄγάν μ' ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.

v. 1243. παιδείων] Hanc ſcripturam induxi in locum vulg. παιδίων.

ΧΟΡΟΣ.

Εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.

ΚΑΣΑΝΔΡΑ.

Ἀλλ' οὔτι Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ.

ΧΟΡΟΣ.

Οὐκ εἴπερ ἔσται γ'· ἀλλὰ μὴ γένοιτό πως.

ΚΑΣΑΝΔΡΑ.

Σὺ μὲν κατεύχει, τοῖς δ' ἀποκτείνειν μέλει.

ΧΟΡΟΣ.

Τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται;

ΚΑΣΑΝΔΡΑ.

Ἦ κάρτα γὰρ παρεσκόπεις χρησμῶν ἐμῶν.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1248. κοίμησον] Stanl. conj. κοίμισον.

v. 1249. ἀλλ' οὔτι] Sic recte Pauwius rescripsit. Ante eum in Vict. Cant. Stanl. lectio erat metro infesta, ἀλλ' οὔτοι.

v. 1250. οὐκ εἴπερ ἔσται γ'] Ita sensu postulante edidi pro vulg. εἰ παρέσται γ'. Abreschio videbatur interrogandi signum ponendum post οὐκ, ut sensus esset: *Non? sed quid si prope adsit? verum nunquam eveniat.* Sed veram particularum εἰ γε vim hoc modo pervertit vir doctus.

v. 1252. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄγος πορσύνεται;] Ita Stanl. Vulg. τινὸς — πορσύνεται. ἄγος autem pro vulg. ἄχος ex Aurati emendatione dedimus.

v. 1253. ἦ κάρτα γὰρ] Sic Abreschius emendavit. Vulgo ἢ κάρτ' ἄρ' ἄν. Stanl. conj. ἢ κάρτ' ἀρὰν —. Heathio vel ἢ κάρτ' ἄγαν, vel ἦ κάρτα γ' οὖν legendum videbatur.

ΧΟΡΟΣ.

Τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.

ΚΑΣΑΝΔΡΑ.

Καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν.

ΧΟΡΟΣ.

Καὶ γὰρ τὰ πυθόκραντα· δυςμαθῆ δ' ὅμως.

ΚΑΣΑΝΔΡΑ.

Παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι;
Ὀτοτοῖ, Λυκεῖ' Ἄπολλον· οἲ ἐγώ, ἐγώ.
Αὕτη δίπους λέαινα, συγκοιμωμένη
Λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
Κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
Τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ.
Ἐπεύχεται θήγουσα φωτὶ φάσγανον,
Ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
Καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ στέφη;

Σφὲ

VARIETAS LECTIONIS.

v. 1256. δυςμαθῆ δ' ὅμως] Vulgo edebatur: καὶ γὰρ τὰ πυθόκραντα, δυςπαθῆ δ' ὅμως. Stanlejus vel δυςπαθῆ τ' ὅμως, vel δυςμαθῆ δ' ὅμως legendum opinabatur. Ac posterius quidem unice verum. Nam δυςπαθῆ a sententia Chori et verborum perpetuitate abhorret. Pauwius δυςμαθῆ θ' ὅμως defendit ita ut θ' sit pro τε. Affert etiam aliud δυςμαθῆ θ' ὅλως, quod prorſus ineptum.

v. 1257. δέ μοι] δέμας corr. Stanl. quod non eſt neceſſarium.

v. 1262. κότῳ] Stanlejus vel κἀμὲ μισθὸν ἐνθήσει πότῳ, vel cum Jacobo, κἀμὲ μισθὸν ἐνθήσει κύτει legendum eſſe ſuſpicatur. Nobis vero emendationis indigere hic locus non videtur.

Σφὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
Ἴτ' ἐς φθόρον πεσόντ'· ἀγαθὰ δ' ἀμείψομαι·
Ἄλλην τιν' ἄταις ἀντ' ἐμοῦ πλουτίζετε.
Ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
Χρηστηρίαν ἐσθῆτ'. Ἐπώπτευσας δέ με
Κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
Φίλων, ὑπ' ἐχθρῶν, οὐ διχορρόπως μάτην.
Καλωμένη δέ, φοιτὰς ὡς ἀγύρτρια,

Πτω-

VARIETAS LECTIONIS.

v. 1267. σφὲ μὲν] Recepi emendationem Stanl. pro vulg. σὲ μὲν, illud enim multo convenientius est consecutioni verborum. Quamquam si quis defendere velit vulgatam σὲ, hac ratione facere id possit, ut dicat, Cassandram primum sceptrum frangere et abjicere; idque his verbis alloqui: σὲ μὲν etc., deinde etiam coronas de capite sibi deripientem addere ἴτ' ἐς φθόρον etc. Minime vero probanda est Abreschii conjectura, σεμνὰ pro σὲ μὲν scriptum fuisse autumantis.

v. 1268. ἀγαθὰ δ' ἀμείψομαι] Vulgo perperam ἀγαθῷ δ' ἀμείψομαι. Pauwius conj. ἀγαθῶν δ' ἀμείψομαι, q. d. *cum bonis vero vos commutabo;* quod mihi non probatur. Non magis Heathii ratio placet: ἐγὼ δ' ἀμείψομαι, q. d. *ego vero vobis succedam.*

v. 1269. ἄλλην τιν' ἄταις ἀντ' ἐμοῦ πλουτίζετε] Ita correxi vulg. ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε. Heathius emendabat: ἄλλην τιν' ἄτῃ γ' ἀντ' ἐμοῦ πλουτίζετε. Sed particula γε hic otiosa esset. Vulgata autem lectio, quocunque te vertas, commodam interpretationem non admittit.

v. 1274. καλωμένη δὲ] Elegantissime sic emendavit Heathius, pro eo quod adhuc edebatur, καλουμένη δέ. Simillimum librariorum errorem idem observavit in Soph. Oedip. Colon. v. 265 et Philoct. v. 231.

Πτωχός, ταλαινά, λιμόθνης ἠνεσχόμην.
Καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμέ,
Ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
Βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει,
Θερμὸν κοπείσης φοινίῳ προσφάγματι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
Ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
Μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
Φυγὰς δ' ἀλήτης, τῆσδε γῆς ἀπόξενος,
Κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
Ἄξει νιν ὑπτίασμα κειμένου πατρός.
Ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας.
Τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω;

Ἐπεὶ

VARIETAS LECTIONIS.

v. 1278. 1279. In edd. legebatur: βωμοῦ πατρῴου δ' ἀντεπίξηνον μένει, θερμῷ κοπείσης, in quo Auratus corruptelam bene sustulit, corrigendo ἀντ' ἐπίξηνον. Male vero Stanlejus corr.

Βωμοῦ πατρῴου δ' ἀντ', ἐπίξενος μένει
Θερμῷ κοπεῖσαν φοινίῳ πρόσφάγματι.

Abreschio placebat θερμῷ κοπείσῃ, ita ut μένει dativum κοπείσῃ regeret; sicut ἐμοὶ δὲ μίμνει σχισμός. Ceterum non προσφάγματι, sed προσφάγματι scribendum erat.

v. 1285. ἄξει — πατρός.] In edd. mendose ἄξειν νιν ὑπτίασμα κειμένου πατρός. Jacobus teste Stanlejo emendaverat, ἄξεινον ὑπτίασμα. Melius autem ipse Stanlejus, sic ut edimus.

v. 1286. ὀμώμοται — μέγας] Hunc versiculum vulgo male post 1291. Ἰοῦσα κἀγὼ τλήσομαι τὸ κατθανεῖν positum huc retraxi; significatur enim jusjurandum Orestis ex Apollinis oraculo datum, se patris caedem ulturum esse.

v. 1288. Pauwius conj. οἱ δ' εἶχον πόλιν οὕτως ἀπαλλάσσοντας ἐν θεῶν κρίσει.

Ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
Πράξασαν, ὡς ἔπραξεν, οἳ δ' εἶχον πόλιν
Οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει,
Ἰοῦσα κἀγὼ τλήσομαι τὸ κατθανεῖν.
Ἅιδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω,
Ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
Ὡς ἀσφάδαστος, αἱμάτων ἐνθνησίμων
Ἀποῤῥυέντων, ὄμμα συμβάλω τόδε.

ΧΟΡΟΣ.

Ὦ πολλὰ μὲν ταλαινά, πολλὰ δ' αὖ σοφὴ
Γύναι· μακρὰν ἔτεινας. Εἰ δ' ἐτητύμως
Μόρον τὸν αὐτῆς οἶσθα, πῶς, θεηλάτου
Βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς;

ΚΑΣΑΝΔΡΑ.

Οὐκ ἔστ' ἄλυξις, ὦ ξένοι, χρόνου πλέων.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1291. ἰοῦσα κἀγὼ] Sic e certiſſima Heathii correctione reſcripſimus. Vulg. ἰοῦσα πράξω nullum hic ſenſum habet, orationis concinnitatem turbat, ortumque eſt ab incuria librarii, cujus ſenſui aut memoriae verbum πράττειν e verſu 1289. obverſabatur.

v. 1292. τάσδ' ἐγὼ] In edd. τὰς λέγω. Canterus τὰς ἐγὼ corrigendum cenſuit. Verius autem viſum eſt τάσδ' ἐγώ.

v. 1300. οὐκ ἔστ' ἄλυξις, ὦ ξένοι, χρόνου πλέων.] Sic emendavi pro vulg. οὐκ ἔστ' ἄλυξις οὐ ξ. οὐ χρόνῳ πλέω, in quibus neque ſenſus neque conſtructio verborum valet. Cf. v. 1301. 1302. Pauwius aliud quid invenit: οὐκ ἔστ' ἄλυξις, οὐ, ξένοι, χρόνῳ πλέον, idque hoc modo interpretatur: *pluris non eſt evitatio propter temporis moram.* Cl. Legrand conj. οὐκ ἔστ' ἄλυξις, ὦ ξένοι, χρόνου πλέον. Stanlejus nihil mu-

ΧΟΡΟΣ.

Ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.

ΚΑΣΑΝΔΡΑ.

Ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.

ΧΟΡΟΣ.

Ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενός.

ΚΑΣΑΝΔΡΑ.

Ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.

ΧΟΡΟΣ.

Οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.

ΚΑΣΑΝΔΡΑ.

Ἰώ, πάτερ, σοῦ, τῶν τε γενναίων τέκνων.

ΧΟΡΟΣ.

Τί δ' ἐστὶ χρῆμα, τίς σ' ἀποστρέφει φόβος;

ΚΑΣΑΝΔΡΑ.

Φεῦ, φεῦ.

ΧΟ-

VARIETAS LECTIONIS.

tandum duxit praeter οὐ ξένοι, in ὦ ξένοι, vertitque vulgatam sic: *non est, o hospites, quo magis mortem evitem cunctando*, quae nec e verbis elici possunt, nec bene latinis verbis enuntiata sunt.

v. 1301. τοῦ χρόνου] forsan leg. τῷ χρόνῳ.

v. 1304. 1305. Recte ita transponendos esse judicavit Heathius. Antea legebatur:

Κασάνδρα.
Οὐδεὶς — εὐδαιμόνων.
Χόρος.
Ἀλλ' εὐκλεῶς — βροτῷ.

v. 1305. ἀκούει] Male Pauwius conj. ἀλεύει.

ΧΟΡΟΣ.

Τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.

ΚΑΣΑΝΔΡΑ.

Φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.

ΧΟΡΟΣ.

Καὶ πῶς τόδ' ὄζει θυμάτων ἐφεστίων;

ΚΑΣΑΝΔΡΑ.

Ὅμοιος ἀτμὸς, ὥσπερ ἐκ τάφου, πρέπει.

ΧΟΡΟΣ.

Οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.

ΚΑΣΑΝΔΡΑ.

Ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. Ἀρκείτω βίος.
Ἰὼ, ξένοι.
Οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ,
Ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,

VARIETAS LECTIONIS.

v. 1310. Φόνον] Vulg. φόβον, quod rectiſſime, ſic ut edidimus, emendandum eſſe vidit Stanl.

v. 1311. καὶ πῶς — ἐφεστίων] Pauwius hisce verbis ſenſum, qui tamen facillimus et optimus eſt, ineſſe negans vel ſic diſtinguendum καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων, vel hoc modo legendum opinabatur: καὶ πᾶν τόδ' ὄζει θυμάτων ἐφεστίων. Neutrum vero probandum. Nec melius tertium quod affert: κ' αὐτῶν τόδ' ὄζει θυμάτων ἐφεστίων.

v. 1317. δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ] In Victor. Stanl. comma tantum poſt ὄρνις ponitur. Soholiaſtes autem alterum poſt ὄρνις agnoviſſe non videtur.

Ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
Ἀνήρ τε δυςδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
Ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.

ΧΟΡΟΣ.

Ω τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.

ΚΑΣΑΝΔΡΑ.

Ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
Ἐμὸν τὸν αὐτῆς. Ἡλίῳ δ' ἐπεύχομαι
Πρὸς ὕστατον φῶς, τοῖς ἐμοῖς τιμαόροις
Ἐχθροὺς φονεῖς τ' ἐμοὺς δίκην τίνειν ἐμοῦ,
Δούλης θανούσης εὐμαροῦς χειρώματος.
Ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
Σκιά τις ἀντρέψει' ἄν· εἰ δὲ δυστυχῆ,
Βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφήν.
Καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.

ΧΟΡΟΣ.

Τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ
Πᾶσι βροτοῖσιν· δακτυλόδεικτον
Δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων.

Μηκέ-

VARIETAS LECTIONIS.

v. 1325. Pauwius conj. τοῖς τ' ἐμαῖς τιμαόροις.

v. 1326. τίνειν ἐμοῦ] Vulg. ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ. Pauwius rescribendum esse somniat; τίειν ὃ μοῦ, *solvant quod mihi debetur;* quod meram barbariem sapit.

v. 1330. βολαῖς] Minime concedendum est, ut, quod Stanl. existimat, reponatur μόλις. Multo minus Pauwianum λώβαις accipiendum.

Μηκέτι δ' εἰσέλθῃς τάδε φωνῶν.
Καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
Μάκαρες Πριάμου·
Θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
Νῦν δ', εἰ προτέρων αἷμ' ἀποτίσει,
Καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
Ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ,
Τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ
Δαίμονι φῦναι τάδ' ἀκούων;

ΑΓΑΜΕΜΝΩΝ ἔνδον.

Ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.

ΗΜΙΧΟΡΟΣ Α'.

Σίγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;

ΑΓΑΜΕΜΝΩΝ ἔνδον.

Ὤμοι, μάλ' αὖθις δευτέραν πεπληγμένος.

ΗΜΙΧΟΡΟΣ Β'.

Τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
Ἀλλὰ κοινωσοίμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.

VARIETAS LECTIONIS.

v. 1335. Hemichoro tribuendum censet Pauw.

v. 1340. θανοῦσι] Canter. conj. κτανοῦσι.

v. 1341. Pauwius metro succurrere cupiens emend. Ποινὰς θανάτων ἄτᾳ ἐπικρανεῖ. Male. Non magis placet, quod Heathio in mentem venit, αὐτὰς ἐπικρανεῖ.

v. 1342. τίς ἂν] Errabat Canterus, cum ei οὐκ post ἂν excidisse videbatur. Metri autem causa Pauwius post εὔξαιτ' inserendum opinatur ἄρα. Heathius idem post βροτῶν ἄρ' ἀσινεῖ.

v. 1348. Mele in edd. κοινωσώμεθ'.

ΗΜΙΧΟΡΟΣ Α'.

Ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
Πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.

ΗΜΙΧΟΡΟΣ Β'.

Ἐμοὶ δ' ὅπως τάχιστα γ' ἐμπεσεῖν δοκεῖ,
Καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεοῤῥύτῳ ξίφει.

ΗΜΙΧΟΡΟΣ Α'.

Κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
Ψηφίζομαί τι δρᾷν. Τὸ μὴ μέλλειν δ' ἀκμή.

ΗΜΙΧΟΡΟΣ Β'.

Ὁρᾷν πάρεστι· φροιμιάζονται γὰρ ὡς
Τυραννίδος σημεῖα πράσσοντες πόλει.

ΗΜΙΧΟΡΟΣ Α'.

Χρονίζομεν γάρ. Οἱ δὲ μελλούσης κλέος
Πέδον πατοῦντες οὐ καθεύδουσιν χερί.

ΗΜΙΧΟΡΟΣ Β'.

Οὐκ οἶδα βουλῆς ἧς τινος τύχω λέγων.
Τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρα.

ΗΜΙΧΟΡΟΣ Α'.

Κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
Λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.

ΗΜΙ-

VARIETAS LECTIONIS.

v. 1357. κλέος] Jacobus Stanlejo teste emendavit χρεοῦς. Pauwius vero corr. μέλλοντος κλέους.

v. 1359. τύχω λέγων] Sic emendavi vulg. τυχὼν λέγω.

v. 1360. πέρα] Ita correxi vulg. πέρι.

ΗΜΙΧΟΡΟΣ Β'.

Ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν
Δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;

ΗΜΙΧΟΡΟΣ Α'.

Ἀλλ' οὐκ ἀνεκτόν, ἀλλὰ κατθανεῖν κρατεῖ.
Πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.

ΗΜΙΧΟΡΟΣ Β'.

Ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
Μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;

ΗΜΙΧΟΡΟΣ Α'.

Σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι.
Τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.

ΗΜΙΧΟΡΟΣ Β'.

Ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
Τρανῶς Ἀτρείδην εἰδέναι κυροῦντ' ὅπως.

VARIETAS LECTIONIS.

v. 1363. τείνοντες] ex emendatione Canteri. Vulg. κτείνοντες, sensu inepto.

v. 1365. κρατεῖ] Recte ut sic scriberetur praecepit Stanl. pro vulg. κράτει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ. ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Πολλῶν πάροιθεν καιρίως εἰρημένων
Τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
Ὡς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
Δοκοῦσιν εἶναι, πημονῆς ἀρκύστατον
Φράξει' ἄν, ὕψος κρεῖσσον ἐκπηδήματος.
Ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
Νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
Ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.

Οὕτω

VARIETAS LECTIONIS.

v. 1375 ſqq. ὡς — φράξει' ἄν] Ita correxi vulg. πῶς — φράξειεν.

v. 1376. πημονῆς ἀρκύστατον] Ex emendatione Stanleji. Vulg. πημονὴν ἀρκύστατον.

v. 1379. νείκης] Veriſſima haec eſt lectio, quam Heathius conjectura indagavit. Nam nec vulgatum νίκης h. l. convenit; et Pauwiana emendatio δίκης Heathianae ſine dubio poſtponenda.

v. 1380. ἔνθ' ἔπαισ'] Vulgatam lectionem ἐνθ' ἔπεσ' vitio laborare vel metri hiatus arguit. Certam tamen ei medelam allatum iri vix absque codicum meliorum ſubſidio ſperandum. Stanlejus corrigit: ἕστηκε δ' ἔνθ' ἔπεισ' ἐπ' ἐξειργασμένοις. Vertitque: *ſtetitque ubi ego ſuaſi re perfecta.* Heathius: ἕστηκα δ' ἔνθ' ἔπεσεν ἐπεξειργασμένος, *ſteti autem ubi cecidit peremtus.* Pauwius: ἕστηκα δ' ἔνθ' ἔπεσεν ἐπ' ἐξειργασμένοις; *ubi Agamemnon cecidit, ibi ſteti ego re peracta.* Minime vero omnium audiendus Abreſchius, qui ἔπεσσ' legendum eſſe ſibi perſuaſit; praeterea hunc verſum loco ſuo motum v. 1393. poſtponendum eſſe ſuſpicatus. Equidem ἔπαισ' repoſui. cf. v. 1385.

Οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι,
Ὡς μήτε φεύγειν, μήτ' ἀμύνεσθαι μόρον.
Ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
Περιστιχίζω, πλοῦτον εἵματος κακόν.
Παίω δέ νιν δίς· κἀν δυοῖν οἰμώγμασιν
Μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
Τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
Οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών,
Κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν,
Βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
Χαίρουσαν οὐδὲν ἧσσον, ἢ Διὸς νότῳ
Γᾶν εὐσπόρητον κάλυκος ἐν λοχεύμασιν.
Ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
Χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
Εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,

VARIETAS LECTIONIS.

v. 1384. περιστιχίζω] Sic recte Cant. περιστοιχίζω Vict. Stanl.

v. 1389. Infeliciter Pauwius corrigere tentavit: οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμίζει πεσών, *ita animam ſuam in ſtationem ſubducit cadens.*

v. 1393. γᾶν εὐσπόρητον] Sic reſcripſi pro vulg. Γὰν, εἰ σπορητός.

v. 1394. ὡς ὧδ' ἐχόντων] Pauwius emend. ὧν ὧδ' ἐχόντων; ſed absque cauſa idonea.

v. 1396. πρεπόντων] Stanl. in mentem venit πρεπόντως. Nihil autem mutandum. Non magis Jacobi conjecturam probo, ἐπισπεύδειν pro ἐπισπένδειν reponentis. Pauwius, ὥστε ſibi placere negans, ſcribendum putat: εἰ δ' ἦν πρεπόντων πῶς, ἐπισπένδειν νεκρῷ, vel: εἰ δ' ἦν, πρεπόντως ὥς γ' ἐπισπένδειν νεκρῷ.

Τάδ' ἂν δικαίως ἦν. Ὑπερδίκως μὲν οὖν
Τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
Πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολών.

ΧΟΡΟΣ.

Θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος,
Ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος,
Ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
Λέγω, σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις,
Ὅμοιον. Οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
Πόσις, νεκρὸς δὲ τῆσδε δεξιᾶς χερός·
Ἔργον δικαίας τέκτονος. Τάδ' ὧδ' ἔχει.

ΧΟΡΟΣ.

στροφὴ α. Τί κακόν, ὦ γύναι, χθονοτρεφὲς
Ἐδανόν, ἢ ποτὸν πασαμένα ῥυσᾶς
Ἐξ ἁλὸς ὅρμενον, τόδ' ἐπέθου θύος,
Δημοθρόους τ' ἀράς; ἀπέδικες, ἀπέταμες·
Ἄπολις δ' ἔσει καὶ μῖσος ὄμβριμον ἀστοῖς.

ΚΛΥ-

VARIETAS LECTIONIS.

v. 1405. οὗτος] Nugatur Pauwius, optimam lectionem in οὗ σὸς mutare cupiens.

v. 1406. Male Abreſchius ſublata diſtinctione poſt χερὸς, hunc genitivum cum ἔργον conjungit.

v. 1409. 1410. Stanl. ſic emendandos arbitratur:

ἐδανὸν ἢ ποτὸν πασαμένα ῥυτᾶς
ἢ 'ξ ἁλὸς ὀρόμενον, τόδ' ἐπέθου θύος.

e quibus unum placet ὀρόμενον pro vulg. ὀρώμενον: Abreſchio placet ὅρμενον, quod recepi.

v. 1412. ἄπολις δ' ἔσῃ καὶ] καὶ Heathio monente addi-

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοί,
Καὶ μῖσος ἀστῶν, δημόθρους τ' ἔχειν ἀράς,
Οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
Ὃς οὐ προτιμῶν, ὡςπερεὶ βοτοῦ μόρον,
Μήλοις φλεόντων εὐπόκοις νομευμάτων,
Ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
Ὠδῖν', ἐπῳδὸν Θρηκίων ἀημάτων.
Οὐ τοῦτον ἐκ γῆς τῆσδ' ἔχρῆν σ' ἀνδρηλατεῖν
Μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
Ἔργων δικαστὴς τραχὺς εἶ. Λέγω δέ σοι
Τοιαῦτ' ἀπειλεῖν ὡς παρεσκευασμένη
Σ' ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
Ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
Γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

XO.

VARIETAS LECTIONIS.

tum, ut metrum expleretur.

v. 1414. δημάθρους] δημοθρόους mavult Pauw.

v. 1415. οὐδὲν τόδ'] Pauwius, nisi τόδ' ſcriptum fuerit, pro κατὰ τόδ' legendum opinatur: οὐδέν τι γ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων.

v. 1417. μήλων — νομευμάτων] ex emendatione noſtra vulg. μήλων — νομεύμασιν.

v. 1419. Θρηκίων ἀημάτων] Veriſſimam hanc lectionem Canterus ingenio reperit. Vulgo enim corrupte legebatur: θρηκίων τε λημμάτων. Pauwius inepte Θρηκίων τε λημάτων. Ceterùm nihil opus eſt ut cum Cantero inter Θρηκίων et ἀημάτων inculcemus γ'.

v. 1423 ſq. παρεσκευασμένη Σ' ἐκ τῶν] Ita corrigenda fuit vulgata παρεσκευασμένης ἐκ τῶν —.

ΧΟΡΟΣ.

ἀντιςρ. ά. Μεγαλόμητις εἶ, περίφρονα
Δ' ἔλακες. Ὥςπερ οὖν φονολιβεῖ τύχᾳ
Φρὴν ἐπιμαίνεται. Λίβος ἐπ' ὀμμάτων
Αἵματος οὐ πρέπει ἀτίετον. Ἔτι σε χρὴ
Στερομέναν φίλων τύμμα τύμματι τίσαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
Μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην
Ἄτην, Ἐριννύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,

Οὖ

VARIETAS LECTIONIS.

v. 1428. τύχᾳ] Canterus emend. ψυχᾷ. Verum hoc aeque displicet, atque id quod in textu legitur. Quaero autem nomen, quo vas aut poculum denotetur, cujus ſanguineo hauſtu quaſi inebriata et ad furorem acta dicatur Clytaemneſtra. Bothius repoſuit: ὥςπερ οὖν φονολιβεῖ δίκα, *ut caede maculatam decet.*

v. 1429. 1430. λίβος ἐπ' ὀμμάτων αἵματος οὐ πρέπει ἀτίετον] Vulg. λίπος ἐπ' ὀμμάτων αἵματος εὐπρέπειαν τίετον, quae quidem miſere depravata eſſe nemo negaverit. Stanl. emend.:

λίβος ἐπ' ὀμμάτων
αἵματος ἐμπρέπει ἀτίετον.

Heathius vero

λίπος ἐπ' ὀμμάτων
αἵματος οὐ πρέπει ἀτίετον.

Pauwius denique:

λίπος ἐπ' ὀμμάτων
Δ' αἵματος εὐπρέπει, ἄτιτον ἔτι σε χρὴ —

Nos autem diviſa Stanleji et Heathii ſententia ex utraque quae veriora nobis videbantur delibavimus.

v. 1431. τύμμα τύμματι τίσαι] Sic Stanlejo Heathioque auctoribus metroque pariter ac ſententia poſtulante edidi pro vulg. τύμμα τύμμα τίσαι.

v. 1432. ἀκούεις] Haud male Stanlej. conj. ἀκούοις, vel ἀκούσεις; illud autem prae altero placet.

Οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν,
Ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
Οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
Κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ·
Ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος,
Καὶ κοινόλεκτρος τοῦδε, θεσφατηλόγος
Πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
Ἰσοτριβής. Ἄτιμα δ' οὐκ ἐπραξάτην.
Ὁ μὲν γὰρ οὕτως· ἡ δέ τοι, κύκνου δίκην,
Τὸν ὕστατον μέλψασα θανάσιμον γόον,
Κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
Εὐνῇ παροψώνημα τῆς ἐμῆς χλιδῆς.

ΧΟΡΟΣ.

στροφὴ ά. Φεῦ τὶς ἂν ἐν τάχει, μὴ περιώδυνος,
Μηδὲ δεμνιοτήρης
Μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν

Μοῖρ'

VARIETAS LECTIONIS.

v. 1435. φόβου] Stanlejo in mentem venit φόνου. Vulgata vero h. l. praeſtat.

v. 1444. ἰσοτριβὴς] Hoc pro vulg. ἱστοτριβὴς reponendum eſſe, recte quidem intellexit Pauwius, ſed male interpretatus eſt. ναυτίλων σελμάτων ἰσοτριβὴς nihil aliud ſignificat, quam quae aeque ac rex tranſtra nautica cubando trivit: eſtque adeo ἐπεξήγησις praecedentis ξύνευνος.

v. 1448. εὐνῇ] Sic recte Pauwius. Vulg. εὐνῆς. παροψώνημα] Ita ſcribendum erat, non ut vulg. παρόψονημα.

v. 1449. τὶς ἂν] Ita ſcribendum eſſe recte judicavit Stanl. Vulg. τίς ἄν.

Μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος
Φύλακος εὐμενεστάτου, καὶ
Πολλὰ τλάντος γυναικὸς διαί·
Πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.
μονοστρ. Ἰώ, παράνομος Ἑλένα μία τὰς πολλὰς
Τὰς πάνυ πολλὰς ψυχὰς
Ὀλέσασ' ὑπὸ Τροίᾳ.
Νῦν δὲ τελείαν πολύμναστον
Ἀπηνθίσω δι' αἷμ' ἄνιπτον.
Ἦ τις ἦν τότ' ἐν δόμοις
Ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μηδὲν θανάτου μοῖραν ἐπεύχου
Τοῖσδε βαρυνθείς·
Μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
Ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν

Ἀν-

VARIETAS LECTIONIS.

v. 1456. παράνομος] Canteri emendationi debetur. Vulg. παρανόμους invito sensu. Ceterum Heathius hosce versiculos, ut anapaestici sint, hoc modo constituit:

Ἰὼ
Παράνομος Ἑλενα, μία τὰς πολλὰς
Τὰς πάνυ πολλὰς
Ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ.

v. 1459. τελείαν] sc. ψυχὴν Agamemnonis, vel lege τέλειον; τέλειοι enim dicuntur principes. *Stanl.*

v. 1460. ἀπηνθίσω] Optime sic emend. Stanl. vulgatum ἐπηνθίσω.

v. 1461. ἦ τις ἦν] In edd. ἥτις ἦν, quod quia non satis cohaeret cum praecedentibus, Heathius corr. ἥτις ἦν. Ego vero ἦ τις verius esse puto.

Ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'.
    Ἀξύστατον ἄλγος ἔπραξεν.

ΧΟΡΟΣ.

ἀντιστρ. ά. Δαῖμον, ὃς ἐμπίπτεις δώμασι καὶ διφυ-
    εῖσι Ταντάλίδαισιν,
Κράτος ἰσόψυχον ἐκ γυναικῶν
Καρδιόδηκτον ἐμοὶ κρατύνεις.
Ἐπὶ δὲ σώματος δίκαν μοι
Κόρακος ἐχθροῦ σταθεῖσ' ἐκνόμως
    Ὕμνον ὑμνεῖν ἐπεύχεται * *

ΚΑΥ-

VARIETAS LECTIONIS.

v. 1469. Ita Stanl. ob metrum distingui jubet pro vulg.

ῥώμασι καὶ
διφυεῖσι Ταντάλίδαισιν.

Pauwius vero post Canterum etiam ἐμπιτνεῖς praefert.

v. 1471. κράτος] Pauwius inserendum censet γ', ne Penthemimeres Jambicus corruat.

v. 1472. καρδιόδηκτον] Vulg. καρδίᾳ δηκτόν. Metri causa Pauwius rescribi vult:

Δηκτὸν ἐμοὶ κραδίᾳ κρατύνεις.

Pro ἐμοὶ autem Stanl. malebat ἐμῇ. Abreschio arridebat καρδιόδηκτον, quod recepi.

v. 1475. ἐπεύχεται] Stanl. conj. ἐπεύχεαι. Sed deest vox dissyllaba (id quod ex antithetici metro liquet), quam absque codicum subsidio vix certe satis divinare liceat. Nihil melius succurrit quam φόνῳ, quod et Pauwius commendat. Pro vulgato σταθεὶς v. 1474. reposui σταθεῖσ', ita ut tota haec ῥῆσις ad Clytaemnestram pertineat.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Νῦν δ' ὤρθωσας στόματος γνώμην,
Τὸν τριπάχυιον
Δαίμονα γέννας τῆσδε κικλήσκων.
Ἐκ τοῦ γὰρ ἔρως αἱματόλοιχος
Νείρῃ τρέφεται, πρὶν καταλῆξαι
Τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

ΧΟΡΟΣ.

στροφὴ β'. Ἦ μέγαν οἴκοις τοῖσδε
Δαίμονα καὶ βαρύμηνιν αἰνεῖς.
Φεῦ, φεῦ, κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
Ἰώ, ἰή, διαὶ Διὸς
Παναιτίου, πανεργέτα.
Τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
Τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;
Ἰώ, ἰώ.
Βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
Κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,

Ὦ

VARIETAS LECTIONIS.

v. 1477. τὸν τριπάχυιον] Metri anapaestici causa Pauwius vel τὸν τρισπάχυιον vel τὸν τρίσπαχον legi volebat. Sed A doricum in τριπάχυιον corripi docuit Heathius.

v. 1480. νείρῃ] Ex emendatione Stanleji etiam ab Heinsio probata ad Hesychium h. v. In edd. est νείρει. Post αἱματόλοιχος colo distinguit Pauwius. Non placet.

v. 1481. ἄχος] Stanl. mavult ἄγος.

Ὤ μοί μοι κοίταν τάνδ' ἀνελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς
Ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν.
Μὴ δ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
Φανταζόμενος δὲ γυναικὶ νεκροῦ
Τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
Τόνδ' ἀπέτισεν,
Τέλεον νεαροῖς ἐπιθύσας.

ΧΟΡΟΣ.

ἀντιστρ. β'. Ὡς μὲν ἀναίτιος εἶ σὺ
Τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;
Πῶ, πῶ; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
Βιάζεται δ' ὁμοσπόροις
Ἐπιῤῥοαῖσιν αἱμάτων
Μέλας Ἄρης· ὅποι δὲ καὶ προβαίνων

Πά-

VARIETAS LECTIONIS.

v. 1505. νεαροῖς] Stanlejus, fortaſſe νεκροῖς, inquit, ſed nihil muto. Recte autem correctione abstinuit, vulgato optimum ſane ſenſum praebente.

v. 1506. εἶ σὺ] In edd. abeſt σὺ, quod addidimus, ut metrum expleretur, et majorem ſententia vim haberet.

v. 1512. ὅποι δὲ καὶ] Heathius mavult ὅποι γε καὶ.

Πάχναν κουροβόρῳ παρέξει.
Ἰώ, ἰώ.
Βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
Κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
Ὤ μοί μοι κοίταν τάνδ' ἀνελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς,
Ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὐκ ἀνελεύθερον οἶμαι θάνατον
Τῷδε γενέσθαι.
Οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
Οἴκοισιν ἔθηκ'; ἀλλ' ἐμὸν ἐκ τοῦ-
δ' ἔρνος ἀερθὲν, τὴν πολύκλαυτον

Ἰφι-

VARIETAS LECTIONIS.

v. 1513. πάχναν κουροβόρῳ παρέξει] In edd. legitur πάχνα κουροβόρῳ παρέξει, e quibus cum ſenſus elici nequeat, Stanl. emend. πάχναν κουροβόρον παρέξει, hac interpretatione uſus: *ubi etiam progreſſus, ſaniem nativoram praebebit.* Melius vero Heathius, quem ſecuti ſumus, πάχναν κουροβόρῳ παρέξει, etſi ille perperam κουροβόρῳ de Thyeſte accipit, quod verius de Atreo intelligitur. Cf. v. 1503.

v. 1522. οὐκ] Vulg. οὔτ'.

v. 1524. οὐδὲ] Stanl. corrigendum putat ὧδε. Nempe quia ei negandi particula moleſta erat, cum ſenſus ac veritas ajentem ſententiam poſtulet. Verum hoc incommodum tutius evitatur, interrogationis nota poſt ἔθηκ' poſita.

Ἰφιγένειαν, ἀνάξια δράσας,
Ἄξια πάσχων, μηδὲν ἐν ᾅδου
Μεγαλαυχείτω, ξιφοδηλήτῳ
Θανάτῳ τίσας ἅπερ ἦρξεν.

ΧΟΡΟΣ.

στροφὴ γ'. Ἀμηχανῶ, φροντίδων στερηθεὶς,
Εὐπάλαμνον μέριμναν
Ὅπα τράπωμαι, πίτνοντος οἴκου.
Δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
Τὸν αἱματηρόν· ψεκὰς δὲ λήγει.
Δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης
Πρὸς ἄλλαις θηγάναις μοῖρα.
μονοστρ. Ἰώ, γᾶ, γᾶ,
Εἴθ' ἔμ' ἐδέξω, πρὶν τόνδ' ἐπιδεῖν
Ἀργυροτοίχου
Δροίτας νῦν κατέχοντα χαμεύναν.
Τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
Ἦ σὺ τόδ' ἔρξαι
Τλήσει, κτείνασ' ἄνδρα τὸν αὑτῆς,

VARIETAS LECTIONIS.

v. 1527. Ἰφιγένειαν] Vulg. τ' Ἰφιγένειαν. Sed copulam h. l. prorſus otioſam jam Stanl. tollendam cenſuit. Pauwius vero γ' Ἰφιγένειαν malebat.

v. 1532. μέριμναν] Comma h. l. poſitum, ſenſu exigente, de Stanleji ſententia delevimus.

v. 1536. δίκην] Ita Stanl. cum Aurato pro vulg. δίκη leg. ſublato puncto poſt βλάβης. Pauwius vero hunc verſum metri ſublevandi cauſa ſic refingere audet: Δίκη δ' ἐπ' ἄλλα πράγματ' ἄγει βλάβης; Heathius vero ſic: Δίκην δ' ἐπ' ἄλλο πρᾶγμα βλάβης θήγει.

v. 1537. θηγάναις] Abreſchius l. θηγαναῖσι,

Ἀποκωκύσαι ψυχὴν, ἄχαριν
Χάριν ἀντ' ἔργων
Μεγάλων ἀδίκως ἐπικρᾶναι;
Τίς δ' ἐπιτύμβιον
Αἶνον ἐπ' ἀνδρὶ θείῳ
Ξὺν δάκρυσιν ἰάπτων
Ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Οὔ σε προσήκει τὸ μέλημα λέγειν
Τοῦτο· πρὸς ἡμῶν κάππεσε, κάτθανε,
Καὶ καταθάψομεν
Οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
Ἀλλ' Ἰφιγένεια νιν ἀσπασίως
Θυγάτηρ, ὡς χρὴ,
Πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
Πόρθμευμ' ἀχέων
Περὶ χεῖρα βαλοῦσα φιλήσει.

ΧΟ.

VARIETAS LECTIONIS.

v. 1546. ἀντ' ἔργων μεγάλων ἀδίκως] Non displicet Pauwii conjectura: ἀντ' ἔργων μεγάλως ἀδίκων. Certe non intelligo, cur Heathius adverbium μεγάλως idoneum h. l. ſenſum admittere neget. μεγάλως ἄδικα ſunt *valde injuſta.*

v. 1548. ἐπιτύμβιον αἶνον] Sic optime emend. Stanl. vulg. ἐπιτύμβιος αἶνος.

v. 1555. τῶν ἐξ οἴκων] Stanl. mavult τῶν ἐξοίκων. Sed ſana eſt codd. lectio.

v. 1556. ἀλλ' Ἰφιγένεια νιν ἀσπασίως] Vulg. corrupte ἀλλ' Ἰφιγένειαν ἶν' ἀσπασίως. Stanl. in notis veriorem lectionem conjectura aſſecutus eſt, quae ſe ſponte facile cuilibet obtulerit.

v. 1560. φιλήσει] recte ſic ſcribendum vidit Abreſch. Vulg. φιλήσῃ fortaſſe alicui

ΧΟΡΟΣ.

ἀντιστρ. γ' Ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους.
Δύσμαχα δ' ἔστι κρῖναι.
Φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
Μίμνει δέ, μίμνοντος ἐν χρόνῳ Διός,
Παθεῖν τὸν ἔρξαντα. Θέσμιον γάρ
Τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
Κεκόλληται γένος προσάψαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἐς τόνδ' ἐνέβη ξὺν ἀληθείᾳ
Χρησμός. Ἐγὼ δ' οὖν
Ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
Ὅρκους θεμένα, τάδε μὲν στέργειν,
Δύστλητά περ ὄνθ', ὃ δὲ λοιπὸν ἰόν-
τ' ἐκ τῶνδε δόμων, ἄλλην γενεὰν
Τρίβειν θανάτοις αὐθένταισιν.
Κτεάνων τε μέρος βαιὸν ἐχούσῃ
Πᾶν ἀπόχρη μοί γ' ἀλληλοφόνους
Μανίας μελάθρων ἀφελούσῃ.

VARIETAS LECTIONIS.

debetur; qui v. 1556. corrupti ἵν' rationem habebat.

v. 1567. προσάψαι] προσάψαν emend. Stanl.

v. 1569. χρησμὸς] Dubium non est, quin ita legendum sit. In edd. erat χρησμόν.

v. 1571. ὃ δὲ λοιπὸν] In edd. est ὁ δὲ λοιπόν. Stanl., vel ὃ δὲ λοιπόν, vel τὸ δὲ λοιπὸν reponendum judicabat. Prius unice verum. Nam τὸ δὲ metrum non patitur.

v. 1576. μοί γ'] Vulg. μοι δ' ἀλληλοφόνους. Cum autem particulae δὲ nullus hic locus sit, Canterus μοι κ' ἀλλ' corrigendum censuit. Pauwii autem ratio praeferenda, quam in textu secuti sumus.

ΑΙΓΙΣΘΟΣ. ΧΟΡΟΣ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΑΙΓΙΣΘΟΣ.

Ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου.
Φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
Θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄγη,
Ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων
Τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
Χερὸς πατρῴας ἐκτινόντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
Πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
Αὑτοῦ τ' ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
Ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
Καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
Τλήμων Θυέστης, μοῖραν εὕρετ' ἀσφαλῆ,
Τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
Ξένια δὲ τοῦδε δύσθεος πατὴρ πατρὶ
Τῷ 'μῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν

Δοκῶν,

VARIETAS LECTIONIS.

v. 1580. ἄγη] Ita ut ſcribatur, non ut vulg. ἄχη, ſenſus requirit, id quod jam ab Aurato animadverſum eſt.

v. 1583. ἐκτινόντα] Aoriſtum Stanlejo monente praetulimus vulg. ἐκτίνοντα.

v. 1590 ſqq. vulgo ſic procedebant:

Τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
Αὐτοῦ. Ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως πατρὶ
Τῷ 'μῷ etc.

in quibus verba Ἀτρεὺς προθύμως μᾶλλον ἢ φίλως manifeſto gloſſam produnt, αὐτοῦ quoque, quod hic valde friget, ex interpretamento natum.

Δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
Τὰ μὲν ποδήρη, καὶ χερῶν ἄκρους κτένας
Ἔκρυπτ' ἄνωθεν ἀνδρακὰς καθημένοις.
Ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν,
Ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
Κἄπειτ', ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
Ὤιμωξεν· ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν,
Μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
Λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,
Οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
Ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.

VARIETAS LECTIONIS.

v. 1593. παιδείων] Sic ut ſupra ſcribendum duxi pro vulg. παιδίων.

v. 1595. ἔκρυπτ' ἄνωθεν ἀνθρακὰς καθημένοις] Vulgatam lectionem aperte corruptam ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος, ita emendabat Stanl. ἔκρυπτ' ἄνω θεὶς ἀνδρακὰς καθημένοις, in quo primum et ultimum veriſſime reſtitutum; ſed ἄνωθεν ſervari poteſt, cum id reliquis hunc in modum ſanatis optimum ſenſum praebeat.

v. 1599. ὤμοξεν· ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν] Vulgo corrupte: ὤμοξεν ἂν, πίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν, in quibus et ἂν particulam et participium ἐρῶν a ſenſu prorſus aliena eſſe nemo non viderit. Canterus igitur emendabat: ὤμωζεν· ἀμπίπτει δ', ὑποσφαγῆς ἐρῶν. Stanl. autem verius conjecit ἐμῶν, vomens, ab ἐμέω, reſcribendum eſſe. Ex utriusque igitur conjecturis meliora decerpſimus, quae Heathio quoque placuerunt. Pauwii autem conjectura ἀπὸ σφαγῆς ἔραν, ut ἔραν pro ἔραζε dictum ſit, faceſſat. Abreſchio videbatur legend. in ὤμοξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν, ut eſſet i. q. σφαγαῖς ἀπερῶν.

Κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
Τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
Ξύνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
Τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
Καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν.
Πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
Οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ
Ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.

ΧΟΡΟΣ.

Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
Σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν,
Μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον.
Οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
Δημοῤῥιφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

ΑΙΓΙΣΘΟΣ.

Σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
Κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
Γνώσει, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
Τῷ τηλικούτῳ σωφρονεῖν εἰρημένον.
Δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
Δύαι διδάσκειν ἐξοχώταται φρενῶν
Ἰατρομάντεις. Οὐχ ὁρᾷς ὁρῶν τάδε;
Πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1610. 1611. Vere judicavit Heathius Pauwium nodum in scirpo quaesivisse, cum aut ἐμὲ aut ἰδόντι hic scribendum esse contenderet.

v. 1612. ἐν κακοῖσιν] Abreschius conj. ἐν θανοῦσιν.

ΧΟΡΟΣ.

Γύναι, σὺ τοῦδ' ἥκοντος ἐκ μάχης νέον
Οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα
Ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον;

ΑΙΓΙΣΘΟΣ.

Καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
Ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
Σὺ δ' ἐξορίνας νηπίοις ὑλάγμασιν
Ἄξει, κρατηθεὶς δ' ἡμερώτερος φανῇ.

ΧΟΡΟΣ.

Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
Ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
Δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

ΑΙΓΙΣΘΟΣ.

Τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς.
Ἐγὼ δ' ὕποπτος, ἐχθρὸς ἢ παλαιγενής.

VARIETAS LECTIONIS.

v. 1625. τοῦδ' ἥκοντος] In edd. vitiose τοὺς ἥκοντας. Stanl. recte sic ut edidimus emendavit. Paulo post idem comma post αἰσχύνουσ' ponendum, et ἅμα cum iis quae sequuntur jungendum existimavit. Non assentior.

v. 1631. νηπίοις] Sic auctore Cl. Legrand rescripsimus pro vulg. ἠπίοις, quod alienum est a sensu. Pauwius ἠπίους correxerat.

v. 1136. σαφῶς] Stanlej. mavult σοφῆς, non male; sed defendi tamen potest codd. lectio. Heath. emendabat σαφές.

v. 1637. ἐγὼ δ' ὕποπτος, ἐχθρὸς ἢ παλαιγενής.] In

Ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
Ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
Ζεύξω βαρείαις οὔτι μὴ σειραςφόρον
Κριθιῶντα πῶλον· ἀλλ' ὁ δυςφιλεῖ σκότῳ
Λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.

ΧΟΡΟΣ.

Τί δή; τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
Οὐκ αὐτὸς ἠνάριζες; ἀλλά νιν γυνή,
Χώρας μίασμα καὶ θεῶν ἐγχωρίων,
Ἔκτειν'. Ὀρέστης ἆρά που βλέποι φάος;

Ὅπως

VARIETAS LECTIONIS.

edd. erat ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής, commate tantum post παλαιγενὴς posito. Pro ἦ Stanl. corrigebat ἦν, ſed praeſtat ἦ, *quatenus*, *quippe*.

v. 1638. ἐκ τῶν δὲ τοῦδε] Sic recte in notis Stanlejus correxit. Falſo edebatur ἐκ τῶνδε τοῦδε —.

v. 1640. Ζεύξω βαρείαις οὔτι μὴ σειρασφόρον κριθιῶντα πῶλον.] Pollux Onomaſt. VII. 24. Αἰσχύλος μὲν γάρ, inquit, εἴρηκε, Σειραφόρον τε καὶ κριθιῶντα πῶλον; ubi dubium non eſt, quin h. l. reſpexerit. Inde autem Stanl. pariter ac Hemſterhuſius κριθιῶντα adſciſcendum ſtatuerunt. Stanlejus autem pro οὔτι legendum putabat ὥςτε. Malim tamen: ζεύξω βαρείᾳ ζημίᾳ σειραςφόρον.

v. 1642. δυςφιλεῖ σκότῳ] Veriſſimam hanc lectionem ingenii ſagacitate eruit Stanlejus e vulgata ſine dubio corrupta δυςφιλὲς κότῳ.

v. 1644. ἀλλά νιν] Vulgo ἀλλὰ σύν. Canter. emend. ἀλλά σφε. Pauwius ἀλλὰ νῦν. Neutrum Heathianae emendationi, quam recepimus, praeferendum.

Ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
Ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.

ΑΙΓΙΣΘΟΣ.

Ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσει τάχα.

ΧΟΡΟΣ.

Εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε,
Εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.

ΑΙΓΙΣΘΟΣ.

Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.

ΧΟΡΟΣ.

Δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ' ἐρούμεθα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
Ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος.

Πη-

VARIETAS LECTIONIS.

v. 1655. ἀλλὰ — δύστηνον θέρος] Sic veram nobis Aeſchyli manum reſtituiſſe nobis videmur. Adhuc edebatur: ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον ὁ ἔρως. Stanlejus emendabat δυστήνων ἔρως, vertens: *veram et haec multa infortunia egerere cupido eſt.* In quo, ut alia incommoda taceam, novam prorſus et inauditam verbo ἐξαμᾶν notionem tribuit, quod non eſt *egerere*, ſed *metere*, Pauwius Heathio probante δύστην' ὄντ' ἔρως, quod eadem difficultate premitur. Ex emendatione autem noſtra pulcherrimus efficitur ſenſus: *Sed jam haec* (mala) *meſſuiſſe valde infauſta meſſis eſt.*

Πημονῆς δ' ἅλις γ' ὕπαρχε· μηδὲν αἱματώμεθα.
Ἀλλὰ στείχετ', οἱ γέροντες, πρὸς δόμους πεπρωμένους
Πρὶν παθεῖν. Εἴξαντε καιρῷ χρῆν τάδ' ὡς ἐπράξαμεν.
Εἰ δέ τοι μόχθων γένοιτο, τοῦδ' ἅλις γ' ἔχοιμεν ἄν,
Δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
Ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.

ΑΙΓΙ.

VARIETAS LECTIONIS.

v. 1656. μηδὲν] μηκέθ' conj. Stanl. haud male quidem, attamen an ita scripserit Aeschylus, vix satis certum. αἱματώμεθα] Sic monentibus Stanlejo Heathioque scribendum erat, pro vulg. ἡματώμεθα.

v. 1657. Ἀλλὰ στείχετ' οἱ γέροντες πρ. δ. πεπρωμένους] Vulgo Στείχετε δ' οἱ γέροντες πρὸς δόμους πεπρωμένους τούςδε. In quibus primum in στείχετε δ' metri trochaici leges violantur; deinde τούςδε ad metrum pariter ac sententiam supervacuum est. Et hoc quidem delendum esse jam Stanl. obser-varat. Heathius vero praeterea corrigi sic volebat:

Στείχετ' ἐνθένδ', ὦ γέροντες
πρὸς δόμους, τετρωμένους
Πρὶν παθεῖν.

Verum πεπρωμένους genuinum esse videtur; et pro στείχετε δὲ visum est rescribere ἀλλὰ στείχετε, quoniam in tali orationis forma, ubi quidam secedere jubentur, solennis est particulae ἀλλὰ usus. v. c. Prometh. 1066.

v. 1658. εἴξαντε καιρῷ χρῆν τάδ' ὡς ἐπράξαμεν] Adoptavi certissimam Cl. Legrand emendationem. In edd. legitur ἔρξαντα καιρὸν χρῆν τάδ' ὡς ἐπράξαμεν. Stanlej. suspicabatur legendum esse ἔρξαντα κραίνειν. Heathius conj. στέρξαντας αἰνεῖν χρῆν τάδ' ὡς ἐπράξαμεν; q. d. *acquiescere vos oportebat, haec ita fieri tolerantes, prout ea perfecimus.*

v. 1659. εἰ δέ τοι] Melius forsan εἴ τι τοι, *si quid igitur*, nisi cum Abreschio velis ad ellipsin τοῦ ΤΙ confugere.

ΑΙΓΙΣΘΟΣ.

Ἀλλὰ τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι
Κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
Σώφρονος γνώμης δ' ἁμαρτεῖν, τὸν κρατοῦντα * * *

ΧΟΡΟΣ.

Οὐκ ἂν Ἀργείων τόδ' εἴη φῶτα προσσαίνειν κακόν.

ΑΙΓΙΣΘΟΣ.

Ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.

ΧΟΡΟΣ.

Οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.

ΑΙΓΙΣΘΟΣ.

Οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.

ΧΟΡΟΣ.

Πράσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.

ΑΙΓΙΣΘΟΣ.

Ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.

ΧΟ-

VARIETAS LECTIONIS.

v. 1663. δαίμονος πειρωμένους] Ita edidi pro vulg. δαίμονας πειρωμένους; uti Stanlejo quoque viſum; niſi quod ille perperam accepit pro *a deo incitatos*; cum ſit potius *fortunam tentantes*, cf. v. 1653.

v. 1664. δ' ἁμαρτεῖν τὸν κρατοῦντα] In edd. corrupte δ' ἁμαρτῆτον κρατοῦντα. Stanlej. corrigit τ' ἁμαρτεῖν τὸν κρατοῦντα δύςφορον; interpretatus: *moderata a ſententia depellere imperantem, non eſt ferendum.* Verum ἁμαρτεῖν non *depellere*, ſed *aberrare* ſignificat. Itaque malim: σώφρονος γνώμης δ' ἁμαρτεῖν τῷ κρατοῦντι δύςφορον.

ΧΟΡΟΣ.

Κόμπασον θαῤῥῶν, ἀλέκτωρ ὥςτε θηλείας πέλας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Μὴ προτιμήσης ματαίων τῶνδ' ὑλαγμάτων, ἐγὼ
Καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

VARIETAS LECTIONIS.

v. 1671. ὥςτε] Vulg. ὥςπερ invito metro. Illud itaque, Pauwio ſuaſore, ſubſtituimus.

v. 1672. 1673. Ultimae voces ἐγὼ et καλῶς in edd. exciderant, quae e Scholiaſte ſupplere facillimum erat. Male autem Heathius, veram, quae hic obtinet, verbi προτιμᾶν ſignificationem haud aſſecutus, in animum induxit corrigere με προτιμήσης.

C. G.